STORIES IN ATTIC GREEK

STORIES IN ATTIC GREEK

STORIES IN ATTIC GREEK

FORMING A GREEK READING BOOK

FOR THE USE OF JUNIOR FORMS IN SCHOOLS

BY THE REV.

FRANCIS DAVID MORICE, M.A.

ASSISTANT MASTER IN RUGBY SCHOOL, AND FELLOW OF QUEEN'S COLLEGE, OXFORD

FOURTH EDITION

RIVINGTONS

WATERLOO PLACE, LONDON

MDCCCLXXXIII

PREFACE.

THIS book is intended to supply beginners in Greek with materials for construing, easier than Xenophon, more interesting than the disconnected sentences of a Delectus, and better calculated than Aesop to familiarise a young reader with the ordinary vocabulary and idiom of the best Attic prose writers.

Few words or constructions have been introduced which are not of constant occurrence in the most correct Attic authors. Thus the beginner who passes from this book to Xenophon, Thucydides, and Demosthenes, and to the composition of Attic prose on his own account, will have little or nothing to unlearn. On the contrary, he will, it is hoped, find his memory stored with a good stock of precisely those words and phrases which will most often stand him in stead. At the same time, care has been taken not to perplex the beginner with long sentences or difficult idioms. The syntax of an ordinary sentence of simple Attic furnishes sufficient occupation for the intelligence of an average schoolboy; and a real mastery of this, such as it is hoped this book will give him, is a better groundwork for his future studies than a half-knowledge of the mysteries of *Anacoluthon*, *Brachylogia*, and *Ellipsis*.

The book consists of stories and passages of simple narrative, which it requires no special knowledge of Greek antiquities or history to understand. To introduce a boy straight from his Grammar to even so simple an author as Xenophon is to plunge him without preparation into a whole world of thoughts and customs of which he knows absolutely nothing. He is bewildered with all the technicalities of Athenian legal procedure and Spartan military organisation, of ancient religious ritual, and a thousand unfamiliar features of Greek political and social life. To such this book will introduce him, not *per saltum*, but gradually and with preparation. The gulf between his own experiences and the remote world of Classical Antiquity is bridged for him by the explanations introduced in Text, Notes, or Vocabulary, and it is hoped that with a little assistance from his teachers he will never find himself hopelessly at sea as to the meaning of an allusion or the nature of an event described.

An unusually full Vocabulary of Words and Stems has been supplied, and in the introductory pages entitled 'Hints to Beginners' will be found full instructions to guide the learner in its use. Many boys are retarded in their Greek studies from mere ignorance of the way in which a Lexicon should be used. An augment or a reduplication sets them vainly hunting for words where they will never find them. A teacher who guides his boys to look out their words according to the principles embodied in these 'Hints' will save them many a

mauvais quart d'heure of wholly useless and uninstructive labour.

The comprehensive character of the Vocabulary makes the addition of a large stock of Notes superfluous. The few which have been given may serve however to save time and sharpen intelligence, and their extreme brevity will leave an idle boy no excuse for neglecting to acquaint himself with them.

English equivalents of Proper Names, with quantities marked where needful, and occasionally with a word or two of explanation, have been added in a Vocabulary of their own.

Augmented and Reduplicated Verbs have been, as far as possible, indicated in the text by the employment of hyphens. And the same method has been employed, after the example of Mr. Phillpotts in his excellent elementary Greek Texts, to distinguish the prepositional factor in a compound verb.

Of the Stories, some appear now for the first time in a Greek dress, others are adaptations—usually from the less-read authors of antiquity, as Aelian, Apollodorus, Plutarch, Athenaeus, and Diodorus. Difficult verb-inflections have been altogether avoided in the early Stories, and have been only introduced gradually, and with full assistance from Notes and Vocabulary in the later. The whole book has been arranged into short chapters, of equal or nearly equal length, each possessing sufficient unity to serve as a lesson for a beginner. And at the end will be found a series of

longer stories, mostly adapted from Thucydides, and narrating interesting episodes in Grecian history. In these the employment of hyphens has been discarded, as it is hoped that the reader, by the time he reaches this part of the book, will have already learned to use the Vocabularies intelligently.

The author wishes to acknowledge the kind and valuable assistance which he has received throughout from his colleague Mr. Arthur Sidgwick. The original conception of the book is in great measure due to his suggestion; and, in its final form, it has received the benefit of his experience and scholarship in a careful revision of the proofs, freeing the text from many blemishes which the author had overlooked.

In preparing this Second Edition, the substance of the book has been left unaltered. Verbal and typographical errors in the text have been corrected; some missing items have been supplied in the Vocabulary; and the Vocabulary of Proper Names has been extended so as to comprise short biographical notices of some of the more important personages mentioned in it.

F. D. M.

Rugby, 1879.

CONTENTS.

TABLE OF STORIES.

HINTS TO BEGINNERS.

HOW TO LOOK OUT WORDS IN THE VOCABULARY.

1. Stems.

Obs. 1. When you cannot at once find a *word* in the Vocabulary, look for a *stem* which may guide you to it.

For instance:—Suppose you come on the word θρέψει. You will find no *word* in the Vocabulary beginning with θ from which it could be derived; but you will find a *stem* θρεψ-, and this will refer you to τρέφω, of which θρέψω, θρέψεις, θρέψει, etc., is the Future.

Again:—Suppose you have to look out τριχὸς. You will find no noun or verb under τ to which you can refer it; but you will find 'τριχ- stem of θρὶξ,' and when you have looked out θρὶξ, you will see that τριχὸς must be its Genitive Singular.

2. Augments, etc.

Obs. 2. In looking out Verbs take care not to be misled by Augments and Reduplications. These, of course, will not appear in the Present.

For instance :—The meaning of ἐθήρευσα will be found by looking out θηρεύω, not ἐθηρεύω.

Again :—to find ἔβη. ἐ being the augment, disregard it for the moment, and turn in the Vocabulary to 'βη-, perf. fut. and aor. stem of βαίνω;' then look out βαίνω, and you will find '2 aor. ἔβην,' of which ἔβη is, of course, the 3d pers. sing.

To assist the beginner in this, syllabic augments and reduplications, in the first 198 stories of this Book, are separated from their stems by a hyphen.

Thus :—ἔ-βη, ἐ-πε-πλήρωτο (from πληρόω), etc.

3. Temporal Augments.

Obs. 3. If a verb-form begins with η or ω, this is often due to the temporal augment. Therefore—

(*a*) To find the present or the stem of a verb-form beginning with η, look first under η, then (if you do not find it) turn at once to α or ε.

(*b*) If the form begin with ω, its present or stem will usually be found under ο.

4. Compound Verbs.

Obs. 4. In these the augments, etc., regularly follow the preposition.

Thus, in προς-έ-βαλλον, ἐ is the augment; look out προς-βάλλω.

Again, in προς-έ-πεσε, ἐ is the augment, πέσ- is the 2 aor. stem of πίπτω; look out προς-πίπτω.

Again, in δι-ῆγε, ῆ is due to the temporal augment (*Obs.* 3), -ῆγε comes from -άγω; so look out δι-άγω.

5. Changes of Prepositions in Compound Verbs.

Obs. 5. Several prepositions are altered in form when compounded with words beginning with certain letters, and as the augmented and unaugmented tenses of the same verb often begin with different letters, this change may take place in the one set of tenses and not in the other.

Thus, σὺν is unaltered before ε, but becomes συμ- before β; so to find συν-έ-βαινε we must look out not συν-βαινω but συμ-βαίνω.

Again, ἐπὶ becomes ἐπ- before a vowel, but remains ἐπὶ before a consonant; so ἐπ-έ-βαινε comes not from ἐπ-βαίνω but from ἐπι-βαίνω.

Again, before the *rough breathing* (ʽ) ἐπὶ becomes ἐφ-; so, to find ἐπ-έ-στη or ἐπι-στὰς, since ἔ-στη and στὰς come from ἵστημι, we must look out ἐφ-ίστημι.

A list of these changes is given below (see *Obs.* 8), and the learner when in difficulty should continually refer to it.

Obs. 6. The preposition πρὸ sometimes combines with a following augment, and produces a diphthong πρου-.

Thus, if we have to find πρου-χώρησε, we must look out προ-χωρέω.

6. Special Irregularities.

Obs. 7. Many irregularly formed, or otherwise puzzling, tenses of verbs will be found separately noted in the Vocabulary.

e.g. ἧκα, 1 aor. of ἵημι; ὠλόμην, 2 aor. mid. of ὄλλυμι; κέκτημαι, perf. of κτάομαι, etc.

7. List of Changes of Prepositions in Composition.

Obs. 8. The following is a list of the principal changes which prepositions undergo in composition. (See *Obs.* 5.)

(1.) ἀνὰ, διὰ, παρὰ.

RULE A.—ἀνὰ, διὰ, παρὰ, become ἀν-, δι-, παρ- before all vowels, whether the breathing be rough (ʽ) or smooth (ʼ); before consonants they remain unaltered.

Examples—ἀν-ε-βαινε from ἀνα-βαίνω.
δι-ίστημι, but δια-στὰς.
παρ-έχω, but παρα-σχὼν.

(2.) ἀντὶ, ἀπὸ, ἐπὶ, κατὰ, μετὰ, ὑπὸ.

RULE B.—ἀντὶ, ἀπὸ, ἐπὶ, κατὰ, μετὰ, ὑπὸ, before vowels with a smooth breathing become ἀντ-, ἀπ-, ἐπ-, κατ-, μετ-, ὑπ-; before vowels with a rough breathing they become ἀνθ-, ἀφ-, ἐφ-, καθ-, μεθ-, ὑφ-; before consonants they remain unaltered.

Example—κατ-έχω, καθ-έξω, κατα-σχὼν.

(3.) ἐκ.

RULE C.—ἐκ before a vowel appears as ἐξ, before a consonant as ἐκ.

Example—ἐξ-ίστημι, ἐξ-έ-στην, but ἐκ-στὰς.

(4.) ἐν, σὺν.

RULE D.—ἐν becomes ἐγ- before gutturals (γ, κ, χ).
" ἐλ-, before λ.
" ἐμ- before labials (π, β, φ, μ).
Before other letters it remains unaltered.

Examples—ἐλ-λοχάω, ἐν-ε-λόχησα.
ἐμ-βάλλω, ἐν-έ-βαλε.

RULE E.—σὺν becomes συγ- before gutturals (γ, κ, χ).
" συλ- before λ.
" συμ- before labials (π, β, φ, μ).
" συρ- before ρ.
" συ- before ζ and usually before σ.
Before other letters it remains unaltered.

Examples—συγ-χωρέω, συν-ε-χώρησα.
συμ-βαίνω, συν-έ-βη.
συ-στὰς, συν-ίστημι.

8. Proper Names.

N.B.—All words beginning with a capital letter should be looked out in the Vocabulary of Proper Names, where the English form of each word is given, and (occasionally) points of history and geography connected with them are briefly stated.

HINTS ON CONSTRUING.

1. Structure of Sentences.

Obs. 9. Before beginning to look out *words*, glance over the *sentence*, and look for the Verb—the hyphen will often show it you at once—and its subject. Note also any words which seem to agree, any prepositions governing one or more words (all which must of course be taken together with the preposition), any adverbs (which must go with the verb usually), and the like. This will give you an idea of the general structure of the sentence, and should suggest to you how to begin upon it.

Take for example this easy sentence—

ἄπρακτον γάρ σε ἀπο-πέμψει ὁ ἐπὶ ταῖς θύραις ἑστηκώς.

Do not begin looking out word by word and construing it into some such nonsense as this—

'Without success for you will send yourself he on the doors having stood.'

But consider—Verb? *ἀπο-πεμψει*: subject? *ὁ . . . ἑστηκώς*: *σὲ* and *ἄπρακτον* agree, accusatives: *ἐπὶ ταῖς θύραις*, preposition and case, all together, and (as their position shows) to be taken with *ὁ ἑστηκώς*.

Then with a *rational* use of the Vocabulary you will get the true meaning. [Subject first, then verb, then the words governed by the verb.]

'For the man standing at the doors (*i.e.* the porter) will send you away unsuccessful,' or (to improve the English) 'disappointed.'

2. Conjunctions, etc.

Obs. 10. Attend *from the first* to little words, conjunctions, particles, etc. You will find them incessantly reappearing as you go on, and will save yourself trouble in the end by noticing them carefully at first.

3. Stops.

Obs. 11. Mind your stops, especially the interrogation-mark, which is like an English semicolon (;). And remember that parentheses are often contained between *a pair of commas*, but *a single comma* makes a separate new clause. So (N.B.)—

Words separated by two commas may sometimes be taken together, but words separated by one comma belong to different clauses.

4. Pronouns.

Obs. 12. Make yourself as familiar as possible with the declensions of pronouns in the Grammar, especially with those of οὗτος, ὅστις, and ὅδε. This will save you countless tiresome hunts after such words as ἥντινα and τάδε, which Lexicons and Vocabularies will hardly ever explain to you.

5. The Article.

Obs. 13. Notice the position of the Article, especially if it be a nominative.

(1.) *It marks the subject.*

Thus ὁ ἀγαθός ἐστι δίκαιος = the good man is just,
But ἀγαθός ἐστιν ὁ δίκαιος = the just man is good.

(2.) All words placed between an article and its noun constitute with the article and noun *a single clause*, which must be all construed together, just like a clause in brackets.

Take these two sentences—

(*a*) οἱ ἐν τῇ πόλει ἄνθρωποι τιμῶνται.
(*b*) οἱ ἄνθρωποι ἐν τῇ πόλει τιμῶνται.

In (*a*) the words ἐν τῇ πόλει *must* go closely with οἱ ἄνθρωποι, 'The-men-in-the-city are honoured;' in (*b*) ἐν τῇ πόλει goes not with οἱ ἄνθρωποι but with τιμῶνται, 'The men are honoured-in-the city.'

A little thought will show that these two sentences convey a totally different meaning.

(3.) Sometimes after an article and its noun the same article is repeated, followed by an adjective, or some expression equivalent to an adjective. Thus—

(*a*) ὁ ἀνὴρ ὁ ἀγαθὸς.
(*b*) οἱ ἄνθρωποι οἱ ἐν τῇ πόλει.

Here the word or words introduced by the *second* article are treated exactly as if they had been placed between the *first* article and its noun, *i.e.* they make with these *a single clause* which must all be construed together. Thus—

(*a*) ὁ ἀνὴρ ὁ ἀγαθὸς = ὁ ἀγαθὸς ἀνὴρ = 'the-good-man.'

(*b*) οἱ ἄνθρωποι οἱ ἐν τῇ πόλει = οἱ ἐν τῇ πόλει ἄνθρωποι = 'the-men-in-the-city.'

(4.) An exceedingly common construction in Greek is that of the *article agreeing with the participle of a verb*, just as if this latter were a substantive.

(It occurs sometimes in English, as 'the slain,' 'the missing,' etc., but much more frequently in Greek.)

Often it may be construed *as a relative clause;* thus—

οἱ ψευσάμενοι, 'those who lied.'
τῆς βασιλευούσης, 'of her who is reigning.'
τὸ φερόμενον, 'that which is being carried.'

But sometimes it may be more neatly and compactly expressed *by turning the participle into a substantive;* thus, in the instances just given—

οἱ ψευσάμενοι, 'the liars.'
τῆς βασιλευούσης, 'of the queen.'
τὸ φερόμενον, 'the burden.'

(5.) An article in Greek is often best *translated by a possessive pronoun*, 'my, your, his, its, their,' etc. Common sense will show you *which* pronoun to choose; thus—

λούομαι τὰς χεῖρας, '*I* wash *my* hands.'

ἔρρηξε τὸν δεσμὸν, '*he* broke *his* chain,' or '*she* broke *her* chain,' or '*it* broke *its* chain,' according to the context.

πιέζουσι τοὺς ὑπηκόους, 'they oppress *their* subjects,' etc.

(6.) The article may combine with an infinitive and produce a kind of verbal neuter noun. Thus—

τὸ λέγειν, (literally 'the to-speak,' *i.e.*) 'the power to speak,' '*speech*' (declined, τοῦ λέγειν, τῷ λέγειν, etc.).

τὸ θνήσκειν, 'the act of dying,' '*death*.'

EASY GREEK STORIES.

ANACHARSIS VISITS SOLON.

1. Σόλων ἦν συνετώτατος πάντων τῶν Ἀθηναίων, τὴν γὰρ σοφίαν αὐτοῦ οὐ μόνον οἱ πολῖται ἐ-θαύμαζον, ἀλλὰ καὶ οἱ ἄλλοι Ἕλληνες πάντες, πολλοὶ δὲ καὶ τῶν βαρβάρων. ἀκούσας δὲ περὶ τούτων Σκύθης τις, ὀνόματι Ἀνάχαρσις, ἐ-βουλεύετο δια-λέγεσθαι τῷ Σόλωνι, ἔχων καὶ αὐτὸς δόξαν ἐν τῇ πατρίδι ὡς σοφὸς ὤν. πλεύσας οὖν εἰς τὰς Ἀθήνας ἔρχεται εὐθὺς ἐπὶ τὴν ἐκείνου οἰκίαν, λέγων ὅτι "ἄπωθεν ἥκει βουλόμενος ποιεῖσθαι πρὸς ἐκεῖνον φιλίαν." ὑπο-λαμβάνει οὖν ὁ Σόλων "βέλτιον εἶναι ποιεῖσθαι φιλίας οἴκοι." ὁ δὲ Ἀνάχαρσις ἀπο-κρίνεται εὐθὺς, "οὐκοῦν δεῖ σὲ, οἴκοι ὄντα, ποιεῖσθαι πρὸς ἐμὲ φιλίαν." ἐ-γέλασε τοίνυν ὁ Σόλων, καὶ δέχεται τὸν ἄνθρωπον φιλικῶς.

SOLON'S LAWS.

2. ὁ δὲ Σόλων ἐ-σπούδαζε τότε περὶ νομοθεσίας. ταῦτα οὖν ἀκούσας ὁ Ἀνάχαρσις ψέγει αὐτὸν διὰ ταύτην τὴν πραγματείαν, λέγων "τοὺς νόμους οὐδὲν δια-φέρειν τῶν ἀραχνίων. ἐκεῖνα μὲν γὰρ κατ-έχει τὰ σμικρὰ καὶ λεπτὰ τῶν ἁλισκομένων, δια-σχίζεται δὲ ὑπὸ τῶν ἰσχυρῶν καὶ παχέων. οἱ δὲ νόμοι ὁμοίως τοὺς μὲν πένητας

τῶν πολιτῶν ἀεὶ πιέζουσιν, οἱ δὲ πλούσιοι αὐτοὺς πάνυ ῥᾳδίως δια-φεύγουσιν." ὁ δὲ Σόλων πρὸς ταῦτα ἀπο-κρίνεται, "ναί· ἀλλὰ συνθήκας ἄνθρωποι φυλάσσουσιν, εἰ κέρδος ἐστὶν αὐτὰς μὴ παρα-βαίνειν. ἐγὼ δὲ ἐπίσταμαί τε ταῦτα, καὶ τοὺς νόμους ἁρμόζω οὕτως τοῖς πολίταις, ὥστε κέρδος ἐστὶ πᾶσιν ἐμ-μένειν μᾶλλον αὐτοῖς ἢ παρα-νομεῖν."

KING JOHN AND THE JEW.

3. ὁ βασιλεὺς Ἰωάννης ἐ-σπάνιζε χρημάτων. ἀκούσας δὲ ὅτι Ἰουδαῖός τις πάνυ πλούσιός ἐστιν, ἐ-βούλετό τι παρὰ τούτου λαμβάνειν. προς-καλέσας οὖν τὸν ἄνθρωπον ἐπι-τάσσει αὐτῷ τριάκοντα τάλαντα· ἐπειδὴ δὲ ἐκεῖνος οὐκ ἐ-πείθετο, ὁ βασιλεὺς κατα-κλείει τε αὐτὸν εἰς εἱρκτὴν, καὶ τὸν φύλακα τοῦ δεσμωτηρίου κελεύει ἐξ-έλκειν τοῦ ἀνθρώπου καθ' ἑκάστην ἡμέραν ὀδόντα ἕνα, ἕως ἂν βούληται τίνειν τὸ ἀργύριον. ἡ γὰρ τῶν παλαιῶν βασιλέων δύναμις τοσαύτη ἦν, ὥστε ὑπὸ μηδενὸς νόμου κατ-έχεσθαι. νῦν δὲ οἱ μὲν νόμοι κρείσσονές εἰσιν, ἥσσονες δὲ οἱ βασιλεῖς. ὥστε οὐκέτι οὐδεὶς εἰς εἱρκτὴν οὐδέποτε εἰς-πίπτει, πλὴν ὅταν κακούργους τινὰς οἱ νόμοι οὕτω κολάζωσιν.

SWANS.

4. λέγει ὁ Ἀριστοτέλης τὸν κύκνον θυμοειδῆ εἶναι καὶ ἀκράχολον. πολλάκις γοῦν, εἰς ὀργὴν καὶ μάχην τρεπομενοι, ἀπο-κτείνουσιν ἀλλήλους οἱ κύκνοι. λέγει δὲ ὁ αὐτὸς, ὡς νόμος αὐτοῖς ἐστὶ μάχεσθαι τοῖς ἀετοῖς· ταῦτα δὲ ποιοῦσιν ἀμυνόμενοι, οὐ γὰρ ἄρχονταί γε τοῦ πολέμου. ὅτι δὲ καὶ ᾄδουσι, τοῦτο πάλαι περὶ αὐτῶν πιστεύεται. ἐγὼ δὲ ᾄδοντος κύκνου οὐδεπώποτε ἤκουσα, ἴσως δὲ οὐδὲ ἄλλος οὐδείς· ἀλλ' ὅμως πολλοί εἰσιν οἱ πιστεύοντες, ὡς

ᾄδει. λέγονται δὲ ταῦτα μάλιστα ποιεῖν, ὅταν μέλλωσι τελευτήσειν. πορεύονται δὲ πετόμενοι ἐπὶ μακρὸν, πολλάκις δὲ καὶ τὴν θάλασσαν δια-βαίνουσι, τὸ δὲ πτερὸν αὐτοῖς οὐδέποτε κάμνει.

NIOBE.

5. ἡ τοῦ Ταντάλου θυγάτηρ Νιόβη, ἔχουσα τέκνα πολλά τε καὶ καλὰ, ἐπὶ τούτοις λίαν ἐ-σεμνύνετο. δια-λεγομένη γὰρ αὐτῇ ποτε γυνή τις τῶν συνηθῶν ἔ-φη κατὰ τύχην, ὅτι ἡ Λητώ ἐστι καλλίπαις, οἱ γὰρ παῖδες αὐτῆς θεοί εἰσιν, ὁ τε Ἀπόλλων καὶ ἡ Ἄρτεμις· ἀκούσασα δὲ ταῦτα ἡ Νιόβη ἔ-φη μεγαλαυχουμένη ὡς τὰ ἑαυτῆς τέκνα πολλῷ εὐειδέστερά ἐστιν ἢ τὰ ἐκείνης. διὰ ταῦτα οὖν ἀγανακτήσασα ἡ Λητὼ πέμπει τὸν Ἀπόλλωνα καὶ τὴν Ἄρτεμιν. οἱ δὲ ἀφ-ικόμενοι τὰ τῆς Νιόβης τέκνα πάντα κατ-ε-τόξευσαν. ἡ δὲ Νιόβη συνεχῶς δακρύουσα κατ-ε-τήκετο, καὶ ἐ-γένετο πέτρα κατα-χέουσα ἀεὶ χειμῶνός τε καὶ θέρους ὑδάτια.

NOT GUILTY!

6. Μιλήσιός τις φόνου δίκην ἔ-φευγεν. ἐλεγχόμενος δὲ περὶ τοῦ πράγματος ὑπὸ τῶν δικαστῶν ἔ-φη ἔχειν οὐ μίαν μόνην ἀπολογίαν ποιεῖσθαι, ἀλλὰ τρεῖς πασῶν καλλίστας. "ἐγὼ γὰρ," ἔ-φη, "ὦ δικασταὶ, τὸ μὲν πρῶτον οὐ πάνυ ἔ-κτεινα τὸν ἄνθρωπον· τὸ δὲ δεύτερον ἔ-κτεινα μὲν αὐτὸν, ἀκούσιον δὲ τὸ ἔργον ἦν, ἔ-τυχον γὰρ τότε μεθυσθεὶς, ὅτε ἐκεῖνο ἔ-δρασα· τὸ δὲ τρίτον οὐ δίκαιός εἰμι διὰ ταῦτα κολάζεσθαι, ἐπεὶ ἐκεῖνος ἐμὲ πρότερος ὕβρισεν, ὥστε ἔ-κτεινα αὐτὸν ἀμυνόμενος, οἱ δὲ νόμοι οὐ κολάζουσι τοὺς τοιαῦτα ποιοῦντας, ἀλλ' ἀναίτιον τὸ ἔργον ἐστίν." ταῦτα δὲ ἀπολογούμενος οὐκ ἔ-πεισε τοὺς δικαστὰς, ἀλλὰ κατα-κριθεὶς ἀπ-έ-θανε.

PROMETHEUS BOUND.

7. πλάσας ὁ Προμηθεὺς ἐξ ὕδατος καὶ γῆς τοὺς πρώτους ἀνθρώπους ἐ-βουλεύετο διδάσκειν αὐτοὺς τέχνας τε παντοίας καὶ ἐπιστήμας. ἀλλ' ἠπόρει τὸ πρῶτον, ὁπόθεν δοίη αὐτοῖς πῦρ· οὐ γὰρ ἦν τότε τοῦτο ἐπὶ τῆς γῆς, οἱ δὲ θεοὶ αὐτὸ παρ' ἑαυτοῖς ἐ-φύλασσον. λάθρα οὖν ἐκείνων ἐς τὸν οὐρανὸν ἀνα-βὰς, σπέρματά τινα πυρὸς ἔ-κλεψε, καὶ ἐν νάρθηκι κρύψας ἔ-δωκε τοῖς ἀνθρώποις. αἰσθόμενος δὲ ταῦτα ὁ τῶν θεῶν βασιλεὺς Ζεὺς ὠργίσθη. προσηλώσας οὖν τὸν Προμηθέα πέτρᾳ τινὶ ἐν τῷ Καυκάσῳ ὄρει, ἀετὸν ἔ-πεμψεν, ὅσπερ ἐλθὼν καθ' ἑκάστην ἡμέραν ἐ-σπάρασσεν αὐτοῦ τὸ ἧπαρ, τὸ δὲ σπαρασσόμενον νύκτωρ αὖθις ηὐξάνετο.

THE CHIMAERA.

8. ἡ καλουμένη Χίμαιρα θηρίον τι ἦν τερατῶδες, τὸ δὲ τοῦ σώματος εἶδος εἶχε τοιοῦτον, ὥστε οὐ ῥᾴδιόν ἐστιν αὐτὸ δι-ηγεῖσθαι. ἦν γὰρ δὴ τὰ μὲν ἔμπροσθεν λέων, τὰ δὲ ὄπισθεν δράκων· μέσῃ δὲ τούτων τρίτη τις κεφαλὴ ἐπ-ῆν κερασφόρος (ὡσεὶ αἰγὸς) καὶ διὰ τοῦ στόματος πῦρ ἀν-ιεῖσα. αὕτη οὖν ἡ Χίμαιρα δι-έ-φθειρε τὴν χώραν πᾶσαν, καὶ τὰ βοσκήματα πανταχοῦ ἐ-λυμαίνετο. μία γὰρ οὖσα τριῶν θηρίων δυνάμιν εἶχε. τέλος δὲ ἀν-εῖλεν αὐτὴν ὁ Βελλεροφόντης ὧδε. ἵππον τινὰ πτηνὸν εἶχεν, ὀνόματι Πήγασον. ἀνα-βὰς οὖν ἐπὶ τοῦτον, καὶ βοήσας, ἤρθη ἐς τὸν ἀέρα, καὶ ὕπερθεν τοξεύων τὴν Χίμαιραν ἀπ-έ-κτεινε.

ROUGH WOOING.

9. συλλέξας ὁ Ῥωμύλος ἐποίκους πολλοὺς, καὶ τὴν πόλιν Ῥώμην κτίσας, εἶτα ἐς ἀπορίαν τινὰ κατ-έστη. τῶν γὰρ μεθ' ἑαυτοῦ ἀνδρῶν ὀλίγοι τινὲς γυναῖκας εἶχον,

οἱ δὲ πολλοὶ γαμεῖν βουλόμενοι οὐκ ἐ-δύναντο. οὐ γὰρ ἦσαν παρ' αὐτοῖς παρθένοι, οὐδὲ πρου-θυμήθησαν οἱ πέλας τοῖς τοιούτοις ἀνθρώποις τὰς θυγατέρας ἐκ-δοῦναι. πρὸς ταῦτα οὖν ἐ-μηχανήσατο τοιάδε. λόγος δι-ε-δόθη ὑπ' αὐτοῦ πρῶτον, ὡς μέλλει θεῷ τινὶ θυσίαν μεγάλην ποιεῖσθαι καὶ πανήγυριν. ἀκούσαντες δὲ ταῦτα πολλοὶ τῶν πλησίον συν-ῆλθον μετὰ τῶν θυγατέρων ἐπὶ θέαν. σημείου δέ τινος γενομένου, οἱ Ῥωμαῖοι μετὰ βοῆς ὁρμήσαντες τὰς μὲν γυναῖκας ἥρπαζον, τοὺς δὲ ἄνδρας σκεδάσαντες ἀπήλασαν.

TARPEIA THE TRAITRESS.

10. στρατεύσαντές ποτε ἐπὶ τὴν Ῥώμην οἱ Σαβῖνοι τῆς ἀκροπόλεως ἐκ προδοσίας ἐ-κράτησαν. ἦν γὰρ ἐν αὐτῇ Ταρπεία τις, θυγάτηρ Ταρπείου τοῦ φρουράρχου. αὕτη οὖν, ἰδοῦσα τοὺς Σαβίνους φοροῦντας χρυσᾶ περιβραχιόνια, τούτων ἐπ-ε-θύμησε. καὶ ὑπ-έ-σχετο τὸ χωρίον προ-δώσειν, εἰ ἕκαστος τῶν εἰς-ιόντων δοίη αὐτῇ ἐκεῖνα, ἃ ἐν τῷ ἀριστερῷ βραχίονι ἐ-φόρει. ἐπὶ τούτοις οὖν οἱ Σαβῖνοι ὡμολόγησαν, καὶ ἡ μὲν Ταρπεία νύκτωρ τὰς πύλας ἀν-έ-ῳξεν, ἐκεῖνοι δὲ εἰς-ῆλθον εἰς τὴν ἀκρόπολιν. ᾔτει οὖν ἡ γυνὴ τὸν μισθόν· οἱ δὲ Σαβῖνοι, ἐπιβαλόντες αὐτῇ τὰς ἀσπίδας (ἐ-φόρουν γὰρ καὶ ταύτας ἐν τοῖς ἀριστεροῖς βραχίοσι), κατ-έ-χωσάν τε αὐτήν, καὶ ἀπ-έ-κτειναν.

THE TWO PRESENTS.

11. πένης τις ἐν τῷ κήπῳ ῥαφανῖδα ἔ-σχεν ὑπερφυῶς καλὴν καὶ μεγάλην, ὥστε ἰδόντες αὐτὴν οἱ πλησίοι πάντες ἐ-θαύμαζον, δαιμόνιόν τι εἶναι οἰόμενοι τὸ φυτόν. ἔ-δοξεν οὖν τῷ πένητι τὴν ῥαφανῖδα ταύτην τῷ βασιλεῖ διδόναι.

καὶ ἐς ἄστυ ἐλθὼν προς-εῖπε τοὺς φύλακας, λέγων, ὅτι δῶρόν τι φέρει παρὰ τὸν βασιλέα· οἱ δὲ τὸν ἄνθρωπον ἐς τὰ βασίλεια εἰς-ήγαγον. ἰδὼν δὲ αὐτὸν ὁ βασιλεὺς ἠρώτησε, τί τὸ δῶρον εἴη; ἀντ-εῖπεν οὖν ἐκεῖνος, φαῦλον μὲν τὸ δῶρον εἶναι, κτημάτων δὲ, ὧν αὐτὸς ἔχει, κάλλιστον. ὁ δὲ βασιλεὺς, ἡσθεὶς τῇ εὐνοίᾳ τοῦ ἀνθρώπου, χρυσὸν πολὺν αὐτῷ ἐ-δωρήσατο.

12. *μαθὼν δὲ τὰ γενόμενα βουκόλος τις ἐ-βούλετο καὶ αὐτός τι παρὰ τοῦ βασιλέως λαβεῖν. ἐκ-λέξας οὖν ἐκ τῶν ἑαυτοῦ ἀγελῶν μόσχον τινὰ διαφερόντως καλὸν, τῷ βασιλεῖ ἐ-δωρεῖτο· οἰόμενος ἐκεῖνον ἀπέραντόν τινα μισθὸν ἀντὶ τούτου δώσειν, ἐπεί γε ἀντὶ ῥαφανῖδος τοσαῦτα ἔ-δωκε. ὁ δὲ βασιλεὺς, οὐκ ἀγνοῶν, τί βουλόμενος ταῦτα δρᾷ, ἔ-λεξε τοιάδε. "δέχομαι μὲν, ὦ ἄριστε σὺ ἀνθρώπων, τὸν μόσχον, ὃν ἄγεις· κενὸν δέ σε ἀπο-πέμπειν αἰσχύνομαι, δοκεῖς γὰρ εὔνους ἐμοὶ εἶναι. δῶρον ἄρα σοι δίδωμι, εἰς ὅπερ πολὺν χρυσὸν ἄρτι ἐ-δαπάνησα." ταῦτα δὲ λέξας, ἔ-δωκε τῷ ἀνθρώπῳ τὴν ῥαφανῖδα, ἣν ὁ πένης ἐκεῖνος αὐτῷ ἤνεγκε.*

THE POLYPUS.

13. *θαλάσσιά τινα θηρία εἰσὶν οἱ πουλύποδες, ἡ δὲ λαιμαργία αὐτῶν δεινή ἐστιν. οὐδενὶ γὰρ οὐδέποτε ἐν-τυγχάνουσιν, ὅ τι οὐ φαγεῖν δύνανται. πολλάκις δὲ οὐδὲ ἀλλήλων ἀπ-έχονται, ἀλλ' ἐμπεσὼν ὁ ἐλάσσων τῷ μείζονι, καὶ περι-ληφθεὶς, εἶτα ἐκείνῳ γίγνεται δεῖπνον. ἐλλοχῶσι δὲ οἱ πουλύποδες καὶ τοὺς ἰχθῦς, τοιόνδε τι μηχανώμενοι, ἵνα αὐτοὺς ἐξ-απατῶσιν. ὑπὸ ταῖς πέτραις κάθ-ηνται, καὶ ἑαυτοὺς εἰς τὸ ἐκείνων χρῶμα ἀλλάσσουσιν. ἐκεῖ οὖν δια-μένοντες ἀκίνητοι, δοκοῦσι καὶ αὐτοὶ πέτραι εἶναι. οἱ τοίνυν ἰχθῦς, ὅταν παρ-ίωσι, προς-νέουσι τοῖς πουλύ-*

ποσιν ἀδεῶς, ὡσεὶ πέτραις. οἱ δὲ περι-βάλλουσιν αὐτοὺς ἀφυλάκτους ὄντας, καὶ τὴν γνάθον ἐπ-άγοντες, διὰ τάχους κατ-εσθίουσι.

THERE'S MANY A SLIP 'TWIXT THE CUP AND THE LIP.

14. ἐ-φύτευσεν Ἀγκαῖος ἀμπέλους, καί, σπουδάζων περὶ τούτων, τοὺς οἰκέτας ἐ-πίεζεν. ὀργισθεὶς οὖν αὐτῷ τῶν οἰκετῶν τις κατ-ηρᾶτο, λέγων ὡς οὐδέποτε τοῦ καρποῦ γεύσεται. περι-ερχομένης δὲ τῆς ὀπώρας, ὁ Ἀγκαῖος χαίρων ἐ-τρύγα, καὶ τὸν οἰκέτην ἐ-κέλευσεν αὐτῷ τὸν οἶνον κεράσαι. μέλλων δὲ τῷ στόματι τὴν κύλικα προσ-φέρειν ὑπ-ε-μίμνησκεν ἐκεῖνον τῆς κατάρας. ὁ δὲ ἔ-φη,

"πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου."

καὶ τούτων ἔτι λεγομένων, ἧκέ τις ἀγγέλλων, ὡς ὑπερμεγέθης ὗς φθείρει τὰς ἀμπέλους. ἀπο-βαλὼν οὖν ὁ Ἀγκαῖος τὴν κύλικα ὥρμησεν ἐπὶ τὸν ὗν, καὶ πληγεὶς ὑπ' αὐτοῦ ἀπ-έ-θανε. ἡ δὲ περὶ τῆς κύλικος καὶ τοῦ χείλους παροιμία ἐντεῦθεν δια-δίδοται.

THE OBEDIENT HORSE.

15. ἄνθρωπός τις ἵππον ἐ-πρίατο, δοκοῦντα καλόν τε εἶναι καὶ συνετόν. τοῦτον οὖν τὸν ἵππον ἐ-δίδαξε πάντα ποιεῖν, ὅσα αὐτὸς κελεύοι. ὁπότε γὰρ φθέγξαιτο, "εἶα" λέγων, ἀκούσας ὁ ἵππος εὐθὺς δρόμῳ ἔ-θει· κελεύοντος δὲ τοῦ δεσπότου παύεσθαι, τότε δὴ καὶ τοῦτο ἐ-ποίει. ἐπι-καθ-ήμενος οὖν ἐκείνῳ, εἶδέ ποτε ὁ ἄνθρωπος δένδρον παρὰ τῇ ὁδῷ πε-φυτευμένον, οὗπερ τοὺς ὄζους μῆλα πολλὰ καὶ ὡραῖα ἐ-βάρυνεν. ἰδὼν δὲ ἐ-χάρη, ὡς γὰρ θέρους τότε ὄντος ἐ-δίψη. καί, προς-ελθὼν πρὸς τὸ δένδρον, ἐ-κέλευσε τὸν ἵππον παύεσθαι. ὁ μὲν οὖν ἵππος, ὑπ-ακούσας, ἐ-ποίησε τὸ προς-τε-ταγμένον. ὁ δὲ ἄνθρωπος τὴν χεῖρα ἐξ-έ-τεινεν, ἵνα τὰ μῆλα λάβοι.

16. ἐπεὶ δὲ ὑψηλὸν ἦν τὸ δένδρον, ἐπ-ανα-στὰς ὁ ἄνθρωπος ἐπὶ τοῦ νώτου τοῦ ἵππου, οὕτω τῶν μήλων ὠρέξατο. μεταξὺ δὲ ἐσθίων, ἔλεξε τοιάδε. "ὦ μακάριος ἐγὼ τῆς σοφίας, ὃς δε-δίδαχα οὕτως εὖ τὸν ἵππον, ἃ χρὴ ποιεῖν ἑκασταχοῦ! νῦν μὲν γὰρ, κελεύσας αὐτὸν παύεσθαι τοῦ δρόμου, τὰ μῆλα τάδε πάνυ ἡσυχῇ κατ-εσθίω. ὅταν δὲ ἅλις ἔχω αὐτῶν, εὖ οἶδα ὅτι ἀνύσας αὖθις ὁδοποιήσεται, ἐὰν μόνον φθέγξωμαι, 'εἶα' λέγων." τοσαῦτα οὖν εἶπεν ὁ ἄνθρωπος, καὶ δι' ἡδονὴν τὴν φωνὴν ἐπ-έ-τεινεν. ἀκούσας δὲ ὁ ἵππος τὸ "εἶα," δρόμῳ εὐθὺς προ-υ-χώρησεν. ἀπο-πεσὼν δὲ αὐτίκα· ὁ ἄνθρωπος, ἐ-κεῖτο ἐν τῇ ὁδῷ καλινδούμενος.

THE INDIAN WIDOWS.

17. ἀπο-θανὼν ἐν μάχῃ τινὶ Κητεὺς, Ἰνδῶν στρατηγὸς, κατ-έ-λιπε γυναῖκας δύο, αἵπερ συν-ηκολούθουν αὐτῷ ἐν τῷ στρατοπέδῳ. νόμος δὲ ἦν ἐκ παλαιοῦ τοῖς Ἰνδοῖς τοὺς ἐν τοῖς πολέμοις ἀεὶ πεσόντας καίειν ἐν πυρᾷ μεγάλῃ, μίαν δὲ ἑκάστῳ γυναῖκα συγ-κατα-καίειν, ἥντινα ζῶν μάλιστα ἐ-φίλει. παρ-ῆσαν οὖν πρὸς τὴν τοῦ Κητέως ταφὴν αἱ γυναῖκες ἀμφότεραι, φιλοτιμούμεναι πρὸς ἀλλήλας ὑπὲρ τοῦ συν-απο-θανεῖν. δια-κρινόντων δὲ τῶν στρατηγῶν, ἔ-δοξε πᾶσι νέμειν τῇ πρεσβυτέρᾳ τὴν τιμὴν ταύτην. ἀν-έ-βη οὖν αὕτη ἐπὶ τὴν πυρὰν, χαίρουσα ὡς ἐπὶ νίκῃ τινί. ἡ δὲ ἑτέρα ἀπ-ῄει ὀλοφυρομένη, καὶ τὰς τρίχας σπαράσσουσα, ὥσπερ μεγάλου τινὸς εὐτυχήματος ἐ-στερημένη.

PRESENTS TO THE KING.

18. νόμον τόνδε οἱ Πέρσαι μάλιστα φυλάσσουσιν. ὅταν πορείαν διὰ τῆς χώρας ὁ βασιλεὺς ποιῆται, δῶρόν τι αὐτῷ προς-φέρουσι πάντες, ἕκαστος κατὰ τὴν ἑαυτοῦ

δύναμιν. τὰ δὲ δῶρα ταῦτα οὐ πάνυ πολυτελῆ ἐστὶν, οὐδὲ γὰρ πλούσιοί εἰσιν οἱ διδόντες. ἀλλ' οἱ μὲν βουκόλοι μόσχους προς-φέρουσιν, οἱ δὲ γεωργοὶ σῖτον ἢ οἶνον. εἰ δὲ τυγχάνει τις ἔτι πενέστερος ἐκείνων ὢν, ὁμοίως καὶ οὗτος δίδωσι τῷ βασιλεῖ, ὅ τι ἂν ἔχῃ, οἷον γάλα, καὶ τυρὸν, καὶ τρωκτὰ ὡραίων καρπῶν. εἰ δὲ ἰδών τις τὸν βασιλέα παρ-ιόντα εἶτα δῶρον αὐτῷ μὴ φέρει, οὗτος, ὡς ἀνάξια δρῶν τῆς πατρίδος, ὑπὸ πάντων ἀτιμάζεται.

19. *ἀνὴρ δέ τις Πέρσης, ὀνόματι Σιναίτης, ἐν-έ-τυχε ποτε Ἀρταξέρξῃ τῷ βασιλεῖ, τῷ ἐπικαλουμένῳ Μνήμονι. ὡς δὲ πόῤῥω ὢν τῆς ἑαυτοῦ οἰκίας, ἠπόρει ὅ τι ἐκείνῳ διδοίη. καὶ διὰ τὸν νόμον ἐ-ταράχθη, μὴ ἄτιμος γένοιτο, εἰ τῷ βασιλεῖ μὴ δωροφοροῖ. ἐλθὼν οὖν σπουδῇ πρὸς τὸν ποταμὸν τὸν πλησίον ῥέοντα, καὶ ἐπι-κύψας, ἀμφοτέραις ταῖς χερσὶν ἠρύσατο τοῦ ὕδατος. Ἔπειτα δὲ ἀν-ελθὼν αὖθις, "ὦ βασιλεῦ," ἔ-φη, "δι' αἰῶνος βασιλεύοις! νῦν μὲν οὖν σε τιμῶ, ὅπῃ δύναμαι, τῷ ὕδατι τοῦ ποταμοῦ, τόδε γὰρ μόνον ἔχω. ὅταν δὲ ἐπὶ τὸν σὸν σταθμὸν παραγένῃ, τὰ κάλλιστα τῶν ἐμῶν κτημάτων σοι δωρήσομαι."*

20. *ἐπὶ τούτοις οὖν ἡσθεὶς ὁ Ἀρταξέρξης ἔ-λεξε τοιάδε. "δέχομαι ἡδέως, ὦ ἄνθρωπε, τὸ δῶρον τόδε. καὶ τιμῶ γε αὐτὸ οὐχ ἧσσον ἢ τὰ πάνυ πολυτελῆ, ἐπεὶ ἄριστον πάντων ὕδωρ ἐστίν. ἀλλ' ὅμως, ὅταν ἐν τῷ σταθμῷ κατα-λύω, τότε σύ μοι πάντως ἐπι-φάνηθι." τοσαῦτα δὲ εἰπὼν ἐ-κέλευσε τοὺς δορυφόρους λαβεῖν τὸ δῶρον. οἱ δὲ, προς-δραμόντες ὅτι τάχιστα, ἐ-δέξαντο ἐκ τῶν χειρῶν ἐκείνου τὸ ὕδωρ εἰς χρυσῆν φιάλην. ὁ δὲ βασιλεὺς, ἐλθὼν ἔνθα κατ-έ-λυεν, ἔ-δωκε τῷ ἀνδρὶ στολὴν Περσικὴν καὶ φιάλην χρυσῆν καὶ χιλίους στατῆρας. ἄλλων δὲ δώρων ἔ-φη οὐδὲν δεῖσθαι, ἱκανὸν γὰρ εἶναι τὸ ὕδωρ.*

21. ἄλλος δέ τις Πέρσης, ὀνόματι Ὠμίσης, προς-εκόμισεν Ἀρταξέρξῃ τῷ βασιλεῖ ῥοιὰν μεγίστην. ὑπερ-εκ-πλαγεὶς οὖν τῷ μεγέθει αὐτῆς ὁ βασιλεὺς ἔ-φη, "ὦ ἄνθρωπε, ἐκ ποίου παραδείσου τόδε τὸ τέρας ἔ-λαβες, ὅπερ νῦν μοι δῶρον φέρεις;" ὁ δὲ Ὠμίσης εἶπε πρὸς ταῦτα, ὅτι οἴκοθεν καὶ ἐκ τῆς ἑαυτοῦ γεωργίας τὸν καρπὸν κέ-κτηται. πυθόμενος οὖν ταῦτα ὁ βασιλεὺς ὑπερ-ήσθη, καὶ βασιλικὰ δῶρα τῷ ἀνθρώπῳ ἔ-πεμψε. ὕστερον δὲ καὶ σατραπείαν τινὰ ἔ-δωκεν αὐτῷ, ἐπ-ειπὼν τοιάδε. "νὴ τὸν Μίθραν, οὗτός γε ὁ ἄνθρωπος ἄξιός ἐστιν ἀρχὰς λαβεῖν. ἐκ γὰρ τῆς τοιαύτης ἐπιμελείας δυνήσεται οὐ μόνον ῥοιάς, ἀλλὰ καὶ πόλεις, μεγάλας ἐκ μικρῶν ποιεῖν."

ONCE TOO OFTEN!

22. σατράπης τις, ἀπο-στὰς ἀπὸ τοῦ βασιλέως, ἐ-πολιορκεῖτο. δείσας δὲ μὴ τὰ σιτία αὐτῷ ἐκ-λείποι, ἀπ-έ-πεμψεν ἐκ τῆς πόλεως τοὺς πενεστάτους τῶν πολιτῶν. οἱ μὲν οὖν ἐξ-ῄεσαν, μετὰ τῶν γυναικῶν καὶ τῶν παίδων, εἰς χιλίους καὶ ἑπτακοσίους. ὁ δὲ βασιλεύς, οἰκτείρας αὐτοὺς τοῦ πάθους, ἐν τῷ ἑαυτοῦ στρατοπέδῳ ἐ-δέξατο πάντας φιλοφρόνως· βορᾶς τέ τι παρ-έχων αὐτοῖς, καὶ χρήματα, καθ' ἕκαστον ἄνδρα στατῆρας δύο. μετὰ δὲ ταῦτα ὁ σατράπης καὶ ἄλλους ἀπ-έ-πεμψε πεντακοσίους. ὁ δὲ βασιλεὺς οὐχ ὁμοίως τούτους ἐ-δέξατο, ἀλλ' ἐ-κέλευσεν αὐτοὺς εἰς-ιέναι αὖθις εἰς τὴν πόλιν. "χρὴ γάρ," ἔ-φη, "φιλάνθρωπον μὲν εἶναι, μαλακὸν δὲ μή."

A CURIOUS DISEASE.

23. φησὶ Καμεράριός τις, ὡς ἐ-κάθητό ποτε ἐν πόλει τινὶ πρὸ τοῦ βουλευτηρίου, παρ-ῆσαν δὲ μετ' αὐτοῦ καὶ τῶν βουλευτῶν τινές. δια-λεγόμενοι δὲ ἐν ἀλλήλοις κατ-εῖδον ἄνθρωπόν τινα αὐτοῖς προς-ιόντα, καὶ δοκοῦντα

πτωχόν τε εἶναι καὶ βούλεσθαί τι παρ' αὐτῶν λαμβάνειν. εὐθὺς οὖν ἀφ-ικόμενος οὗτος ἤρξατο δακρύειν, φάσκων ὡς ἐν μυρίᾳ πενίᾳ ἐστὶ διὰ νόσον τινὰ δεινοτάτην, ἥπερ βαρέως ἐγ-κειμένη οὐκ ἐᾷ αὐτὸν ἐπι-τελεῖν ἔργον οὐδὲν, οὐδὲ τροφὴν οὐδαμόθεν εὑρίσκεσθαι. ἀκούσαντες δὲ ἐκεῖνοι μὲν ἠρώτων τίς ἡ νόσος εἴη. ὁ δὲ, "ἀλλ' οὐ δύναμαι," φησὶν, "ὦ ἄνδρες, ταῦτα ὑμῖν δι-ηγεῖσθαι, πλὴν ὅτι χαλεπωτάτη ἡ νόσος ἐστίν."

24. ὁ μὲν οὖν πτωχὸς τοσαῦτα εἶπεν· οἱ δὲ, ἐλεήσαντες αὐτὸν, καὶ δόντες ὅσα ἑκάστῳ ἐ-δόκει, ἀπ-έ-πεμψαν. ὕστερον δὲ, βουλόμενοι μανθάνειν ἀκριβέστερον τὴν τῆς νόσου φύσιν, κελεύουσι δοῦλόν τινα θεῖν σκεψόμενον, ὅςπερ τῆς ἰατρικῆς ἔ-τυχεν ἔμπειρος ὤν. ἐπι-γενόμενος οὖν οὗτος τῷ πτωχῷ ἐπι-σκοπεῖ αὐτοῦ τὰ μέλη πάντα, οὐ μέντοι νόσου οὐδεμιᾶς σημεῖα εὑρίσκει. θαυμάσας οὖν πρὸς ταῦτα, "ὦ ἄνθρωπε," ἔ-φη, "ποίαν δὴ νόσον ἔχεις; δοκεῖς γὰρ ἔμοιγε πάνυ ὑγιὴς εἶναι." ὁ δὲ ἀντ-εῖπεν, "ἀλλ' ὡς ἀληθῶς δεινοτάτη μου ἡ νόσος ἐστὶν, εἰ καὶ ἀφανὴς οὖσα τυγχάνει· περι-έχει γάρ μου τὰ μέλη πάντα, τὸ δὲ ὄνομα αὐτῆς ἐστιν ἀργία!"

DEMOPHON AND THE GODDESS.

25. ἐ-βασίλευέ ποτε ἐν Ἐλευσῖνι Κελεός τις. ἦν δὲ αὐτῷ παιδίον, ὀνόματι Δημοφῶν, ὅνπερ ἰδοῦσα ἡ θεὸς Δημήτηρ ἐ-βούλετο ἀθάνατον ποιῆσαι. εἰκάσθη οὖν γυναικὶ, καὶ, πείσασα τὸν Κελεὸν, τροφὸς ἐ-γένετο τῷ Δημοφῶντι. ἐκ δὲ τούτων θαυμάσιόν τι ἔ-δρα· ἐν-τιθεῖσα γὰρ νύκτωρ ἀεὶ τὸ παιδίον εἰς πῦρ, περι-ῄρει αὐτοῦ τὴν θνητὴν σάρκα. ὁ δὲ Δημοφῶν διὰ ταῦτα κακὸν μὲν οὐδὲν ἔ-πασχεν, ἀεὶ δὲ μᾶλλον ηὐξάνετο· δαιμόνιον γὰρ τὸ πρᾶγμα ἦν. τέλος δὲ εἰς-ελθοῦσα ἀπροσδοκήτως ἡ μήτηρ,

καὶ τὸν παῖδα ὁρῶσα ἐν τῷ πυρὶ, ἀν-ε-βόησε διὰ φόβον. καὶ ἡ μὲν θεὸς εὐθὺς ὀργισθεῖσα ἠφανίσθη, ὁ δὲ παῖς κατα-καυθεὶς ἀπ-έ-θανε.

DIONYSUS AND THE PIRATES.

26. ὁ θέος Διόνυσος τὴν ἄμπελον εὗρέ πρῶτος. φασὶ δὲ οἱ μυθολόγοι, ὡς τοὺς εἰς αὐτὸν ἀσεβοῦντας ἐ-κόλαζε, μανίαν ἐμ-βάλλων. πολλοὶ δὲ ἦσαν οἱ τοιοῦτοι, εἰώθει γὰρ ὁ Διόνυσος θνητῷ εἰκασθεὶς ἐπὶ γῆς φαίνεσθαι, ὥστε ἔ-λαθε θεὸς ὤν. βουλόμενος δέ ποτε εἰς νῆσόν τινα δια-κομισθῆναι ἐ-μισθώσατο ἐπὶ τῷ πλῷ τριήρη τινὰ ληστρι-κήν. ἐπι-βουλεύσαντες τοίνυν αὐτῷ οἱ ναῦται ἔ-μελλον πλεῖν ἐς τὴν Ἀσίαν, ἵνα πωλήσωσιν αὐτὸν ἐπὶ δουλείᾳ. ὁ δὲ θαυμασίῳ τινὶ τρόπῳ δίκην παρ' ἐκείνων ἔ-λαβε. τὸν γὰρ ἱστὸν τῆς νεὼς καὶ τὰς κώπας ἐ-ποίησεν ὄφεις· οἱ δὲ ναῦται μανέντες, καὶ ἐς τὴν θάλασσαν ἐκ-πηδή-σαντες, ἐ-γένοντο δελφῖνες.

THE FAMINE.

27. ἐ-γένετο ἐν χώρᾳ τινὶ λιμὸς μέγιστος, ὥστε οἱ πένητες σφόδρα ἐ-ταλαιπωροῦντο, πολλοὶ δὲ ὑπὸ σιτοδείας καὶ ἀπ-έ-θανον. ἔ-πεμψαν οὖν ἀγγέλους ὡς τὸν βασιλέα, διδάξοντας οἷα κακὰ πάσχουσι, καὶ δεησομένους ἐκείνου (ἢν δύνηται) πέμπειν αὐτοῖς ὠφέλειαν. ἡ δὲ θυγάτηρ τοῦ βασιλέως—ἔ-τυχε γὰρ παρα-καθ-ημένη αὐτῷ—ἐ-θαύμασε ταῦτα ἀκούσασα. εὐθὺς οὖν ἔ-φη, "ἀλλ', ὦ ἀγαθοὶ, εἰ οὕτω δὴ πιέζεσθε, διὰ τί οὐκ ἐσθίετε ἄρτους καὶ τυρὸν; βέλτιον γὰρ ἂν εἴη τοῦτο ποιεῖν, ἢ λιμῷ ἀπο-θανεῖν!" ταῦτα δὲ εἶπεν οὐ δι' ὕβριν, ἀλλὰ δι' ἄγνοιαν τῆς τῶν πενήτων διαίτης οἰομένη τὴν τοιαύτην εὐτελῆ τροφὴν καὶ ἐν λιμοῖς μέλλειν περισσεύειν.

MELEAGER AND THE FIRE-BRAND.

28. *νεανίσκος τις ἐν τῇ Ἑλλάδι ποτε ἦν, ὀνόματι Μελέαγρος, καλός τε καὶ ἀγαθὸς, ὁ δὲ πατὴρ αὐτοῦ Οἰνεὺς ἐ-βασίλευε Καλυδῶνος. περὶ τούτου οὖν λόγος τις ἔστι τῶν πάλαι ποιητῶν, ὡς, παῖς ὢν νεογενὴς, ἔ-κειτό ποτε ἐν τοῖς βασιλείοις· ἔ-τυχε δὲ χειμὼν τότε ὢν, καὶ δαλός τις ἐ-καίετο ἐπὶ τῆς ἐσχάρας. εἰς-ελθοῦσαι δὲ εἰς τὴν οἰκίαν αἱ Μοῖραι εἶπον τῇ τοῦ παιδὸς μητρὶ Ἀλθαίᾳ, ὡς ὁ Μελέαγρος τότε ἀπο-θανεῖται, ὅταν ὁ δαλὸς οὗτος ὁ καιόμενος κατα-καυθῇ. ἀκούσασα δὲ ἡ Ἄλθαια τὰ ὑπὸ τούτων λεγόμενα ἀν-ήρπασεν εὐθὺς ἐκ τοῦ πυρὸς τὸν δαλὸν, καὶ σβέσασα αὐτὸν ἔ-σωζεν ἐν λάρνακι.*

29. *ἡβήσαντος δὲ τοῦ Μελεάγρου, ὗς τις ἄγριος τὴν χώραν δι-έ-φθειρε. συγ-καλέσας οὖν ἐκ τῆς Ἑλλάδος τοὺς ἀρίστους πάντας, ὁ Μελέαγρος ἐπὶ τοῦτον ἐξ-ῄει. οἱ δὲ ἀδελφοὶ τῆς Ἀλθαίας μετ-έ-σχον τῆς θήρας ταύτης, ἦλθε δὲ καὶ παρθένος τις καλλίστη, ὀνόματι Ἀταλάντη. ἀπο-κτείνας οὖν τὸν ὗν ὁ Μελέαγρος τῇ Ἀταλάντῃ τὸ δέρμα ἔ-δωκεν. οἱ δὲ ἀδελφοὶ τῆς Ἀλθαίας (ἀγανακτοῦντες εἰ παρ-όντων ἀνδρῶν γυνὴ λήψεται τὰ ἀριστεῖα), αὐτοὶ ἐκεῖνο τὸ δέρμα προς-ποιησάμενοι ἀφ-είλοντο. ὀργισθεὶς οὖν ὁ Μελέαγρος ἐπὶ τούτοις ἀπ-έ-κτεινεν ἀμφοτέρους. λυπηθεῖσα δὲ ἡ Ἀλθαία ἐπὶ τοῖς τῶν ἀδελφῶν θανάτοις ἧψε τὸν δαλὸν, καὶ ὁ Μελέαγρος εὐθὺς ἀπ-έ-θανεν.*

THE WINE-CASK.

30. *μωρός τις, οἶνον ἔχων, κατ-ε-σφράγισεν αὐτὸν ἐν πίθῳ, ἵνα μὴ κλεφθῇ. Αἰσθόμενος δὲ ταῦτα ὁ δοῦλος, καὶ βουλόμενός τι ἀφ-αιρεῖν, δι-έ-τρησε τὸν πίθον, καὶ χώνην ἐν-θεὶς οὕτως ἔ-πινεν. ὁ μὲν οὖν οἶνος κατὰ μικρὸν*

ἐλάσσων ἐγίγνετο, ὁ δὲ δεσπότης ἠπόρει, οὐκ αἰσθόμενος διὰ τί ταῦτα συμ-βαίνει. ἔ-τυχε δέ ποτε ξένῳ τινὶ δια-λεγόμενος περὶ τούτων, καὶ εἶπεν ὀδυρόμενος, "ὦ φίλε, ἦ οὐ δεινά σοι τάδε εἶναι δοκεῖ; ὁρᾷς γὰρ τὸν πίθον ἐ-σφραγισμένον, ὁ δὲ οἶνος ἀεί πως ἀναλίσκεται." ἀντ-εῖπεν οὖν ἐκεῖνος, "δοκεῖ μοι ὁ οἶνος κάτωθεν ἀφ-αιρεῖσθαι." ὁ δὲ μῶρος, "ἀλλ' οὐ τὸ κάτωθεν," ἔ-φη, "ἀφανίζεται· ἀλλὰ τὸ ἄνωθεν."

THE KING AND HIS FLATTERERS.

31. βασιλεύς τις, παρα-λαβὼν παρὰ τοῦ πατρὸς οὐ μικρὰν ἀρχὴν, ἔπειτα πολλῷ δυνατώτερος ἐ-γένετο διὰ τόδε. συλ-λέξας ναῦς πολλὰς ἔ-πλευσεν ἐπὶ νησιώτας τινὰς, οἷσπερ ἔ-τυχε δια-φερόμενος, καὶ νικήσας αὐτοὺς κατ-ε-στρέψατο τὴν νῆσον. πρὸς ταῦτα οὖν εἰκότως πολλοὶ ἦσαν οἱ κολακεύοντες αὐτόν· τινὲς δὲ καὶ θεῷ αὐτὸν ἀπ-εικάζοντες ἔ-φασαν, ὡς καὶ ἡ γῆ πᾶσα καὶ ἡ θάλασσα ὑπήκοοι αὐτοῦ εἰσί. ὁ δὲ δυσχεραίνων τῇ ἐκείνων κολακείᾳ ἐ-βουλεύετο ἐλέγχειν αὐτοὺς, ὡς ψευδῆ λέγουσιν. ἐ-κέλευσεν οὖν αὐτοὺς κατ-ιέναι μεθ' ἑαυτοῦ ἐς τὴν παραλίαν. ἦν δὲ τότε παλίρροια τῆς θαλάσσης, καὶ κατα-σκευάσας θρόνον ἐν τῇ ψαμάθῳ ἐ-κάθητο, ἀπ-έχων οὐ πολὺ τοῦ ὕδατος.

32. ἔπειτα δὲ πρὸς τὴν θάλασσαν βλέπων ὁ βασιλεὺς ἔ-λεξε τοιάδε. "ὦ θάλασσα, φασὶ μὲν οἵδε ὅτι καὶ σὺ ὑπήκοος ἐμοῦ εἶ· δεῖ δέ με αὐτοῖς πιστεύειν, δοκοῦσι γὰρ οὐ φορτικοί τινες εἶναι, ἀλλ' ἄνδρες καλοί τε καὶ ἀγαθοί. κελεύω σε οὖν ἐς τόνδε τὸν τόπον μὴ αὖθις ἐπ-αν-ιέναι, μηδὲ τὸν θρόνον τοῦ ὑμετεροῦ δεσπότου βρέχειν." τοσαῦτα δὲ εἰρηκὼς σιγὴν εἶχε· ἡ δὲ θάλασσα οὐχ ἧσσον ηὐξάνετο,

ἀλλὰ τὸν θρόνον κύκλῳ περι-έ-ρ-ρει. κατα-βὰς οὖν πάλιν ὁ βασιλεὺς, "ὦ φίλοι," ἔ-φη, "δῆλον ὅτι ἐκεῖνά γε οὐκ ἀληθῶς ὑμεῖς εἰρήκατε. οὐδενὸς γὰρ πλὴν τοῦ θεοῦ ἡ θάλασσα ὑπήκοός ἐστι."

MURDER WILL OUT.

33. ἦν ποτε ἐν Μεγάροις νεανίσκος τις, ὃς πένης ὢν ἐ-βουλεύθη ἐκ τῆς πατρίδος μετα-στὰς ἐν ἀλλοτρίῳ τινὶ τόπῳ τὴν τροφὴν ζητεῖν. ἀκούσας δὲ πολλάκις περὶ τῶν Κορινθίων ὡς τρυφερώτατοί εἰσι πάντων τῶν τότε Ἑλλήνων, καὶ ἅμα ὡς περὶ ἀνδριαντοποιΐαν μάλιστα σπουδάζουσιν (ἧςπερ καὶ αὐτὸς ἔμπειρος ἦν), ἐν νῷ εἶχεν ἐκεῖσε ἰέναι ἵνα πλούσιος γένηται. πορευόμενος δὲ γέροντί τινι ἐν τῇ ὁδῷ ἐπ-έ-τυχε, πλουσίῳ δὴ δοκοῦντι εἶναι, καὶ βαλλάντιον μέγα ἐν ταῖς χερσὶν ἔχοντι. ἰδὼν δὲ ὁ νεανίσκος τὸ βαλλάντιον ἐπ-ε-θύμησεν αὐτοῦ, καὶ ἐ-πειρᾶτο ἁρπάζειν. ὁ δὲ, γέρων μὲν ὢν ἀσθένης δὲ οὔ, σφόδρα πρὸς ταῦτα ἠγωνίσατο.

34. δείσας οὖν ὁ νεανίσκος μὴ αὐτός τι πάθοι, βακτηρίᾳ ἐκεῖνον παίσας ἀπ-έ-κτεινε. κείμενος δὲ ὁ γέρων καὶ ἤδη μέλλων ἀπο-θανεῖσθαι ἔ-λεξε τοιάδε. "σὺ μὲν ἄρα, ὦ κάκιστε, τὸν χρυσὸν κτήσει. ἀλλ' οὐ χαίρων τοῦτο ποιήσεις, εἴ γε ἁρπαγῶν καὶ φόνων οἱ θεοὶ μὴ ἐπι-λανθάνονται. ὁ γὰρ πανόπτης ἥλιος πάντα ἐς φῶς ἄγει."

μετὰ δὲ ταῦτα ἀφ-ικόμενος ἐκεῖνος ἐς Κόρινθον ἀνδριαντοποιῷ τινι παρα-μένων ἐ-μισθάρνει. ὡς δὲ φιλόπονος ὢν καὶ δεξιὸς, χρημάτων τι (ὅσον ἀπο-ζῆν) ῥᾳδίως ἐ-κτήσατο. τέλος δὲ τοῦ δεσπότου τὴν θυγατέρα γήμας, καὶ κληρονόμος αὐτῷ κατα-στὰς, ἤλπιζεν ἐκ τούτων πλούσιος καὶ εὐδαίμων ταχέως ἔσεσθαι.

35. καθ-ήμενος δέ ποτε ἐπὶ τῇ θύρᾳ, τὸν δὲ ἥλιον νοήσας ἑαυτοῦ κατα-λάμποντα, ἐ-μνήσθη οἷα ἐκεῖνος ὁ ἀν-αιρεθεὶς περὶ τούτου εἶπε. πρῶτον μὲν οὖν τι ἐ-φοβεῖτο· ἔπειτα δὲ γελάσας, "βούλεται μέν," ἔ-φη, "ὁ ἥλιος ἐς φῶς ἐκεῖνα ἄγειν· οὐ μέντοι δύναται." ἡ δὲ γυνὴ ἀκούσασα ἠρώτησε τί λέγει; ὁ δὲ τέως μὲν δεδιὼς ἐ-σιώπα· ἔπειτα δὲ νομίζων ἐκείνην πιστὴν ἑαυτῷ εἶναι πάντα ἀπ-έ-δειξεν. ἡ δὲ ἅτε γυνὴ οὖσα σιγᾶν οὐκ ἐ-δύνατο, ἀλλά τισι τῶν συνηθῶν λάθρᾳ ταῦτα ἀν-ε-κοίνωσεν, ἐκεῖναι δὲ αὖ τοῖς ἀνδράσιν, ὥστε πάσῃ τῇ πόλει ἔκπυστα γενέσθαι. εἰσαγγελθεὶς οὖν ὁ ἄνθρωπος καὶ κατα-κριθεὶς ἐ-θανατώθη.

CURIOSITIES OF ANCIENT NATURAL HISTORY.

36. λέγουσί τινες τῶν παλαιῶν, ὡς οἱ ἄγριοι ὗες τῆς ἰατρικῆς οὐκ ἀπαίδευτοί εἰσιν. ὅταν γὰρ λάθωσιν ἑαυτοὺς φυτόν τι φαγόντες, νοσήσαντες διὰ τοῦτο ἐς τὴν θάλασσαν ἀπο-τρέχουσι, καί, εὑρόντες ἐκεῖ καρκίνους πολλούς, ἐσθίουσι μάλα προθύμως. γίγνονται δὲ οὖν οἱ καρκίνοι φάρμακον τοῦ πάθους, οἱ δὲ ὗες καθ-ίστανται αὖθις ὑγιεῖς.

φασὶ δὲ καὶ τοὺς ἐλάφους πολλάκις δηχθέντας ὑπὸ φαλαγγίων νοσεῖν· γευσαμένους δὲ κισσοῦ οὐκέτι ὁμοίως λυπεῖσθαι. δεῖν δὲ ἄγριον εἶναι τὸν κισσόν.

ἔστι δὲ τόδε ἔτι γελοιότερον ἐκείνων, ὅπερ περὶ λεόντων νοσούντων λέγουσι. φασὶ γὰρ δὴ ὡς διὰ τοῦδε μόνον οἱ τοιοῦτοι ἀνίστανται—ἐὰν ἐσθίωσι πιθήκους!

GREEDY APICIUS.

37. ἐ-γένετο ἐπὶ Τιβερίου Ἀπίκιός τις, πάντων τῶν Ῥωμαίων τρυφερώτατος. ἀμελήσας γὰρ τῶν ἄλλων, τὴν ἑαυτοῦ γαστέρα μόνην ἐ-θεράπευε, καὶ μυριάδας πολλὰς δραχμῶν εἰς ταύτην ἐ-δαπάνησε. δι-έ-τριβε δὲ ὁ ἄνθρω-

πος ἐν Μιντούρναις τὸ πλεῖστον, ἥπερ πόλις ἐστὶ τῆς Ἰταλίας· ἐ-γένοντο γὰρ ἐκεῖ καρίδες πασῶν μέγισται, ταύτας δὲ ἐσθίων καὶ μάλιστα ἥδετο. ἀκούσας δέ τινός ποτε λέγοντος, ὡς τρέφονται ἐν τῇ Λιβύῃ καρίδες ἔτι γλυκύτεραι ἐκείνων καὶ καλλίονες, ἐ-βουλεύσατο πλεῖν ἐκεῖσε ὡς τάχιστα, οὐδὲ ἡμέραν μίαν ἀνα-μείνας. ὁ μὲν οὖν πλοῦς μακρὸς ἦν, ὥστε ἔ-παθεν ἐν αὐτῷ κακὰ πολλά. διὰ δὲ τὴν τῶν καρίδων ἐπιθυμίαν πάνυ ῥᾳδίως ἐκεῖνα φέρων, ἐ-καρτέρει τε, καὶ τῇ Λιβύῃ τέλος ἐ-πλησίασεν.

38. ἐπειδὴ δὲ ἧκεν ἡ ναῦς ἐκεῖσε, ἵνα αἱ καρίδες ἐ-γίγνοντο, ἔ-μελλεν ὁ Ἀπίκιος ἐκ-βαίνειν εἰς τὴν γῆν. φήμη δὲ πολλὴ ἐ-γένετο τοῖς Λίβυσι περὶ τῆς ἀφίξεως αὐτοῦ· καὶ ἰδόντες τὴν ναῦν προς-ορμιζομένην οἱ ἁλιεῖς καθ-εῖλκον τὰ ἀκάτια, καὶ προς-έ-πλεον φέροντες τῷ Ἀπικίῳ τὰς καλλίστας καρίδας. ἰδὼν δὲ αὐτὰς ἐκεῖνος οὐκ ἠρέσκετο, ἀλλ᾽ ἠρώτα τοὺς ἁλιέας, εἰ μέγισται τῶν ἐκεῖ καρίδων αὗται ὡς ἀληθῶς εἰσί. πυθόμενος δὲ ὅτι εἰσὶν, ἔ-φη τὰς ἐν ταῖς Μιντούρναις μεγέθει τε καὶ κάλλει τούτων ὑπερ-έχειν. καὶ ἔπειτα οὐδὲ ἤθελε τῇ γῇ προς-πελάζειν, ἀλλ᾽ ἐκέλευσε τὸν κυβερνήτην κατα-πλεῖν ὡς τάχιστα ἐς τὴν Ἰταλίαν.

BUSIRIS.

39. περὶ τοῦ Βουσίριδος λέγουσιν οἱ μυθολόγοι, ὡς βασιλεὺς ἐ-γένετο τῆς Αἰγύπτου, ἔ-θυε δὲ ἐπὶ τῷ Διὸς βωμῷ καθ᾽ ἕκαστον ἔτος ἄνδρα ξένον. ἐννέα γὰρ ἔτη λιμός τις ἰσχυρὸς κάτ-ε-σχε τὴν Αἴγυπτον, οἱ δὲ ἐπιχώριοι ὑπ᾽ αὐτοῦ δεινῶς ἐ-πιέζοντο. ἐλθὼν οὖν ἐκ Κύπρου μάντις τις, ὀνόματι Θράσιος, ἔ-φη τὸν λιμὸν παύσεσθαι, ἐὰν σφάξωσι τῷ Διὶ ξένον ἄνδρα κατ᾽ ἔτος. ἀκούσας δὲ ταῦτα ὁ Βούσιρις αὐτὸν τὸν μάντιν ἔ-σφαξε πρῶτον,

ἔπειτα δὲ καὶ τοὺς ἄλλους ξένους, ὅσοιπερ ἐκεῖσε ἦλθον. ἀφικόμενος τοίνυν καὶ ὁ Ἡρακλῆς συν-ε-λήφθη καὶ τοῖς βωμοῖς προς-ε-φέρετο. ἀλλὰ δια-ρ-ρήξας τὰ δεσμὰ καὶ τὸν Βουσίριδα ἀπο-κτείνας ἀπ-έ-φυγε.

NELIDES AND HIS GRANDMOTHER.

40. ὁ Νηλίδης ἡβήσας ἐ-γένετο ναύαρχος πάντων ἄριστος. παρ-έ-σχε δὲ, (ὥς φασιν,) ἔτι παῖς ὢν, τεκμήρια πολλὰ, ὡς ἔσται ποτε ἀνὴρ ἀγαθὸς καὶ ἀνέκπληκτος. πέντε γοῦν μάλιστα ἔτη γε-γονὼς ἀπὸ τῆς οἰκίας τῆς τήθης μακρὸν ἐ-πλανήθη. πεινῶν δὲ ἐν τῇ ὁδῷ οὐδ᾽ ὁτιοῦν ἐ-ταράχθη, ἀλλὰ, συλ-λέξας ἀγρίους τινὰς καρποὺς, ἐκ τούτων δεῖπνον ἐ-ποιεῖτο. ἐς δὲ τὴν οἰκίαν, ὅθεν ὡρμήσατο, οὐκ ἐπ-αν-ῆλθε, πρὶν νὺξ ἐ-γένετο. ἰδοῦσα οὖν αὐτὸν ἡ τήθη, "ὦ παῖ," ἔ-φη, "θαυμάζω ὡς οὔ σε ἠνάγκασεν ὁ φόβος θᾶσσον ἐπ-αν-ελθεῖν." ὁ δὲ παῖς ἀντ-εῖπεν, "ἀλλ᾽, ὦ τήθη, τίς ἔστιν ὁ φόβος; οὐ γὰρ ἐμοὶ συνήθης ἐστίν."

THE GOOD-NATURED KING.

41. βασιλεύς τις ἀγαθὸς καὶ σώφρων γυναῖκα εἶχεν, ἄλλως μὲν οὐκ ἀγεννῆ, τῇ δὲ φύσει λίαν ἀκράχολον. αὕτη οὖν, ἀπατηθεῖσά ποτε ὑπὸ πανούργου τινὸς ἐμπόρου, ὠργίσθη τε διὰ ταῦτα καὶ ἐ-βουλεύετο τὸν ἄνθρωπον πᾶσι τοῖς ἐσχάτοις ζημιῶσαι. ἀκούσας δὲ ὁ βασιλεὺς, οἷα ἡ γυνὴ ἐπι-νοεῖ, ἔ-φη ὡς αὐτῷ ταῦτα μελήσει. ἔ-δεισε γὰρ μὴ ἐκείνη χαλεπαίνουσα δρῴη τι ἀνάξιον. ἐ-κέλευσεν οὖν τοὺς δορυφόρους πρῶτον μὲν τὸν ἄνθρωπον συλ-λαβεῖν, ἔπειτα δὲ δε-δεμένον αὐτὸν ἐν τῷ θεάτρῳ προ-τιθέναι, ἵνα ὑπὸ λέοντός τινος ἀγρίου ἐκεῖ δια-σπαράσσοιτο. νόμος γὰρ ἐκ παλαιοῦ ἦν ἐν ἐκείνῃ τῇ χώρᾳ τοὺς κατα-κριθέντας οὕτως δια-χρήσασθαι.

42. οἱ μὲν οὖν δορυφόροι τὸν ἔμπορον ἐς τὸ θέατρον ἔ-στησαν, ὥσπερ ὁ βασιλεὺς ἐ-κέλευσεν. παρ-ῆσαν δὲ ἄρα ὅ τε βασιλεὺς, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ ἄλλοι πολλοὶ τῶν πολιτῶν, ὡς τὸ πρᾶγμα θεασόμενοι. ὁ δὲ ἔμπορος ἵστατο ἐν τῷ μέσῳ, δε-διώς τε καὶ τρέμων. ἐπειδὴ δὲ καιρὸς ἦν, σημαίνει ὁ βασιλεὺς τοῖς ὑπηρέταις τὸν λέοντα εἰς-πέμπειν. οἱ δὲ, προ-διδαχθέντες οἷα χρὴ ποιεῖν, καὶ τὰ κλῆθρα ἀν-οίξαντες, εἰς-έ-πεμψαν οὐ λέοντα, ἀλλὰ λαγών. ἰδοῦσα οὖν ταῦτα ἡ βασίλεια ἐ-γέλασέ τε καὶ τῆς ὀργῆς ἐπ-ε-λάθετο. ὁ δὲ βασιλεὺς ἔπειτα ἀπ-έ-λυσε τὸν ἔμπορον, νομίζων αὐτὸν ὑπὸ τοῦ δείματος ἱκανῶς κε-κολάσθαι.

THE YOUNG GIANTS.

43. λέγεται ὁ Ποσειδῶν γεννῆσαι παῖδας δύο· ἡ δὲ φύσις αὐτῶν θαυμασία ἦν, ηὐξάνοντο γὰρ καθ' ἕκαστον ἔτος ἐς μὲν πλάτος πῆχυν, ἐς δὲ ὕψος ὄργυιαν. ἐπειδὴ δὲ ἐ-γένοντο ἐννέα ἐτῶν, δι-ε-νοοῦντο μάχεσθαι τοῖς θεοῖς. ἐπι-θέντες οὖν Ὀλύμπῳ τῷ ὄρει ἕτερόν τι ὄρος ὀνόματι Ὄσσαν, καὶ τρίτον αὖ ἐκείνῳ ἐπι-βαλόντες τὸ Πήλιον, ἔ-μελλον διὰ τούτων τῶν ὀρῶν ἐς τὸν οὐρανὸν ἀνα-βήσεσθαι. ἰδόντες δὲ οἷα ἐκεῖνοι ποιοῦσιν, οἱ θεοὶ εἰκότως ἐ-ταράσσοντο. τέλος δὲ ἡ Ἄρτεμις ἀν-εῖλεν ἀμφοτέρους δι' ἀπάτης. ἀλλάξασα γὰρ τὸ ἑαυτῆς εἶδος εἰς ἔλαφον, ἀπροσδοκήτως διὰ μέσου αὐτῶν ἐ-πήδησεν. οἱ δὲ, στοχαζόμενοι τοῦ θηρίου, ἀλλήλους κατ-ε-τόξευσαν.

THE GOOSE AND THE HORSE.

44. χήν ποτε καὶ ἵππος λειμῶνά τινα κοινῇ ἐ-νέμοντο. ὁ δὲ χὴν τῷ ἵππῳ, ἢ ὡς καταφρονοῦντι ἑαυτοῦ, ἢ δι' ἄλλην τινὰ αἰτίαν ὀργισθεὶς, τοιάδε ἐ-καυχᾶτο. "πῶς δὴ εὔχει σὺ, ὦ δαιμόνιε, κρείσσων ἐμοῦ εἶναι; οὔτε γὰρ ἐν οὐρανῷ

πέτεσθαι δύνασαι, οὔτε νεῖν (ὥσπερ ἐγὼ) ἐν τοῖς ποταμοῖς. ἀλλὰ περι-πατῶν ἀεὶ κατὰ γῆν, ταύτην οὐδέποτε λείπεις, δοκεῖς δὲ δεθέντας πως ἐς αὐτὴν τοὺς πόδας ἔχειν. ἐγὼ δέ γε πρῶτον μὲν πτηνός εἰμι, ὥστε ἔξ-εστί μοι δι' ἀέρος πλανᾶσθαι. ἅλις δὲ τούτου σχὼν, ἐς τὸ ὕδωρ κατα-βαίνω, ἐν ᾧ νέων καὶ κολυμβῶν τὸ σῶμα ἡδέως μάλα ἀνα-ψύχω.

45. ὁ μὲν οὖν χὴν τοσαῦτα ἔ-λεξεν· ὁ δὲ ἵππος εὐθὺς ἀντ-εῖπε φρυασσόμενος. "ἀλλ', ὦ οὗτος, τίνι δὴ τρόπῳ πέτεσθαι δύνασαι; ἐπεὶ δηλονότι τοῦτο ποιῶν οὐκ εὐσχήμων εἶ, οὐδὲ εὔστροφος, ὥσπερ οἱ ἀετοὶ καὶ αἱ χελιδόνες. ἔπειτα δὲ διὰ τοῦ ὕδατος οὐ ταχέως πορεύει, ἀλλ' ὑπο-λείπει πολὺ (κατὰ τοῦτό γε) τῶν ἰχθύων· ὥστε οὐδὲ ἐκεῖ εἶ εὐδόκιμος. πορευόμενος δὲ ἐπὶ τῆς γῆς, οὐ μόνον ἀσχήμων φαίνει, ἀλλὰ καὶ γέλοιος. ἔγωγε οὖν θέλω μᾶλλον ἵππος εἶναι ἐπὶ τῆς γῆς ἀεὶ διαιτώμενος, ἢ (ὥσπερ σὺ) πέτεσθαι καὶ νεῖν δυνάμενος, γέλωτα πανταχοῦ παρ-έχειν τοῖς θεωμένοις.

THE APPLE-TREE.

46. ὁ Πόνος ἦν ποτε (ὥς φασι) γεωργός τις, πένης μὲν, ἀγαθὸς δὲ καὶ εὐγνώμων. ὁ δὲ θεὸς Ἑρμῆς ἔ-τυχε τότε πορείαν δι' Ἑλλάδος ποιούμενος, πεινῶν δὲ ἐν τῇ ὁδῷ ἦλθε πρὸς τὴν τοῦ Πόνου καλύβην, καὶ ᾔτει τι σίτου. ὁ δὲ τὸν ξένον ἐ-δέξατο φιλανθρώπως, καὶ σιτία ἔ-δωκεν, οἷα δὴ παρ' ἑαυτῷ εἶχεν. ἡσθεὶς οὖν ὁ Ἑρμῆς ὑπ-έ-σχετο δώσειν τῷ ἀνθρώπῳ, ὅ τι ἂν ἐκεῖνος βούληται. ὁ δὲ γεωργὸς, "ὦ κύριε," ἔ-φη, "ὁρᾷς ἐκεῖνο τὸ δένδρον, τὸ τὰ μῆλα φέρον. βούλομαι οὖν ἀνάγκην εἶναι πᾶσιν, ὅσοι ἂν εἰς αὐτὸ ἀνα-βαίνωσι, μένειν ἐκεῖ, ἕως ἂν κελεύω ἐγὼ αὐτοὺς κατα-βαίνειν."

47. ὁ δὲ Πόνος μετὰ ταῦτα πρεσβύτης ἐ-γένετο, καὶ ἔ-δει αὐτὸν ἤδη τελευτᾶν. ἥκει οὖν ὁ Θάνατος ἐς τὴν ἐκείνου καλύβην, καὶ κελεύει τὸν γέροντα μεθ' ἑαυτοῦ εὐθὺς ἀπιέναι. ὁ δὲ ἔ-φη ἕτοιμος εἶναι, ἀλλὰ βούλεσθαι ἐν τῷ μεταξὺ ἓν μόνον μῆλον ἀπ' ἐκείνου τοῦ δένδρου ἐσθίειν, ἔπειτα δὲ ἕψεσθαι. ἐπὶ τούτοις οὖν ὁ Θάνατος ὡμολόγει· ἀφ-ικόμενος δὲ πρὸς τὸ δένδρον ὁ γέρων ἔ-φη, "ὦ φίλε Θάνατε, ὁρᾷς ὅτι τὸ μὲν δένδρον ὑψηλόν ἐστιν, ἐγὼ δὲ γέρων εἰμὶ καὶ ἀσθενής. πρὸς ταῦτα οὖν δέομαί σου εἰς αὐτὸ ἀνα-βαίνειν, καὶ τὸ μῆλον κομίζειν· ἔπειτα δὲ ἄπ-ειμι, ὡς κελεύεις."

48. τοσαῦτα οὖν ὁ μὲν γέρων ᾔτησε. γελάσας δὲ ὁ Θάνατος, καὶ ἐς τὸ δένδρον ἀνα-βὰς, μῆλά τινα κατ-έ-βαλεν· ὁ δὲ γέρων λαβὼν αὐτὰ ἤρχετο ἐσθίειν. ὁ δὲ Θάνατος ἔ-μελλε τότε κατα-βαίνειν ἐκ τοῦ δένδρου· οὐ μέντοι ἐ-δύνατο, ἀλλ' ἐν-είχετο ἐν αὐτῷ πως, καὶ, πολλὰ λυγιζόμενος, ὅμως προς-ε-κολλᾶτο πρὸς τοὺς κλάδους, ὥστε γελοιότατον τὸ θέαμα εἶναι. ὁ δὲ Πόνος, "ὦ Θάνατε," ἔ-φη, "δεῖ σε ἐκεῖ μένειν, ἕως ἂν σε ἐγὼ ἀπ-αλλάσσω. εἰ δὲ βούλει κατα-βαίνειν; κελεύω σε ἀθάνατον ἐμὲ ποιεῖν." τέλος οὖν ἀπο-καμὼν ἐκεῖνος συν-ε-χώρησε ταῦτα, καὶ ἀπ-ῆλθεν. ὁ δὲ Πόνος διὰ ταῦτα ἀθάνατος ἐν ἀνθρώποις ἐστίν.

THE TAME SNAKE.

49. πόλις ἐστὶ τῆς Ἀχαίας αἱ Πάτραι. παῖς δέ τις τῶν ἐκεῖ δράκοντα μικρὸν ἐ-πρίατο, καὶ ἔ-τρεφε παρ' ἑαυτῷ, ἐπιμέλειαν πολλὴν αὐτοῦ ποιούμενος. ἐπειδὴ δὲ ηὐξήθη ὁ δράκων, ὁ παῖς πρὸς αὐτὸν ἐ-λάλει ὡς πρὸς ἀκούοντα, καὶ ἔ-παιζε μετ' αὐτοῦ, καὶ συν-ε-κάθευδεν.

ὁ μὲν οὖν δράκων μέγας ἐ-γένετο, οἱ δὲ πολῖται διὰ φόβον ἐξ-έ-βαλον αὐτὸν εἰς τὴν ἐρημίαν. ὕστερον δὲ ὁ παῖς, νεανίσκος γενόμενος, ἔ-τυχέ ποτε ἀπὸ θέας τινὸς ἐπ-αν-ιών. δια-πορευόμενος δὲ διὰ τῆς ἐρημίας λῃσταῖς τισὶ περι-έ-πεσεν. οἱ μὲν οὖν ἔ-μελλον ἤδη αὐτὸν ἁρπάζειν· ὁ δὲ δράκων, ἀπροσδοκήτως παρα-γενόμενος, τοὺς μὲν ἀπ-έ-κτεινε, τὸν δὲ παῖδα δι-έ-σωσεν.

THE CARRIER PIGEON.

50. ἦν ποτε ἐν τῇ Αἰγίνῃ νεανίσκος τις ὀνόματι Ταυροσθένης. δοκεῖ δὲ τὸ ὄνομα τοῦτο συνᾴδειν τῇ τοῦ ἀνθρώπου φύσει, ἦν γὰρ τῇ τοῦ σώματος ῥώμῃ ἐκπρεπὴς, καὶ ἐ-νίκησεν ἐν τῇ πατρίδι ἀγῶνας πολλούς. τέλος δὲ, ἀγωνισάμενος ἐν τῇ Ὀλυμπίᾳ, καὶ ἐκεῖ ἐ-στεφανώθη. τὴν δὲ νίκην ταύτην δι-ήγγειλε τῷ ἑαυτοῦ πατρὶ ἐν Αἰγίνᾳ αὐθημερὸν, τοιόνδε τι (ὥς φασι) μηχανησάμενος. ἐ-κόμισε μεθ᾽ ἑαυτοῦ ἐς τὴν Ὀλυμπίαν περιστερὰν, χωρισθεῖσαν ἀπὸ τῶν νεοσσῶν. νικήσας δὲ οὖν ἐν τῷ ἀγῶνι ἀφ-ῆκε τὴν περιστερὰν, προς-άψας αὐτῇ θώμιγγα πορφυροῦν καὶ ἐπιστολάς. ἡ δὲ, ἐπειγομένη πρὸς τοὺς νεοσσοὺς, ἀφ-ίκετο αὐθημερὸν ἐξ Ὀλυμπίας εἰς Αἴγιναν.

THE TWO KINGS.

51. βασιλεύς τις τῶν Αἰγυπτίων, στρατεύσας ἐπὶ τοὺς Πέρσας, ἐ-νικήθη τε ὑπὸ τούτων, καὶ ἐ-γένετο αἰχμάλωτος. ὁ δὲ τῶν Περσῶν βασιλεὺς φιλοφρόνως αὐτὸν ἐ-δέξατο, καὶ ἐ-κάλεσεν ἐπὶ δεῖπνον. ἡ μὲν οὖν παρασκευὴ τοῦ δειπνοῦ λαμπρὰ ἦν· ὁ δὲ Αἰγύπτιος ἰδὼν αὐτὴν οὐκ ἠρέσκετο, ἀλλ᾽ ἔ-φη τὸν Πέρσην εὐτελῶς ἄγαν διαιτᾶσθαι. "εἰ δὲ θελεις," ἔ-φη, "εἰδέναι, ὦ βασιλεῦ, πῶς χρὴ σιτεῖσθαι, κέλευσον τοὺς ἐμοὺς μαγείρους παρα-σκευάζειν

σοι Αἰγύπτιον δεῖπνον." ταῦτα οὖν ἐ-ποίησεν ὁ Πέρσης, γευσάμενος δὲ τοῦ δείπνου ἥσθη τε καὶ ἔ-φη, "κακὸς ἄρα δοκεῖς σὺ εἶναι, ὦ Αἰγύπτιε, ἐπεὶ τοιαῦτα δεῖπνα κατα-λιπὼν ἐπ-ε-θύμησας κατα-φαγεῖν τὰ ἡμέτερα."

THE LAND-SLIP.

52. *ἐ-γένετο ἐν Κελαινῷ, ἥπερ πόλις ἐστὶ τῆς Φρυγίας, χάσμα τι τῆς γῆς· εἵλκυσε δὲ εἰς ἑαυτὸ οἰκίας πολλὰς, καὶ τοὺς ἐν αὐταῖς ἐν-οικοῦντας ἀνθρώπους. πρὸς ταῦτα οὖν ὁ βασιλεὺς Μίδας ἐ-χρήσατο θεῷ τινὶ περὶ τοῦ πράγματος. ὁ δὲ θεὸς ἀν-εῖλεν αὐτῷ, ὅτι δεῖ ἐμ-βάλλειν εἰς τὸ χάσμα τὸ τιμιώτατον τῶν παρ' ἑαυτῷ κτημάτων, ἐὰν δὲ ποιῇ ταῦτα, τὸ χάσμα εὐθὺς ἀνα-πληρωθήσεται. ἐπ-αν-ελθὼν οὖν ὁ Μίδας εἰς τὴν ἑαυτοῦ οἰκίαν, ἐ-κέλευσε τοὺς οἰκέτας κομίζειν ἐκ τῶν θησαυρῶν χρυσὸν πολὺν καὶ ἄργυρον· ταῦτα γὰρ ἐ-νόμισεν εἶναι πάντων, ὧν εἶχε, τιμιώτατα. κατ-έ-βαλε τοίνυν ταῦτα εἰς τὸ χάσμα, τὸ δὲ οὐκ ἀν-ε-πληρώθη.*

53. *αἰσθόμενος δὲ ταῦτα ὁ τοῦ βασιλέως υἱὸς Ἄγχουρος ἔ-λεξε τοιάδε. "ὦ πατὲρ, οὐ θαυμάζω ἐγὼ, εἰ, τὰ τοιαῦτα κτήματα κατα-βάλλων, τὸ χάσμα οὐκ ἀνα-πληροῖς. δῆλον γὰρ ὅτι παῖς εὔνους καὶ πιστὸς ἄξιός ἐστι πλέονος, ἢ χρυσὸς, καὶ ἄργυρος, καὶ τὰ τοιαῦτα πάντα. νῦν δὲ, ἵνα ἀληθῶς κατα-βάλῃς εἰς τὸ χάσμα τὸ τιμιώτατον τῶν σῶν κτημάτων, ἰδοὺ, ἐγὼ εἰς αὐτὸ κατα-πηδήσομαι." τοσαῦτα οὖν εἰπὼν ὁ νεανίσκος, καὶ τὸν πατέρα ἀσπασάμενος, ἀν-έ-βη εἰς τὸν ἵππον, καὶ κατ-ε-πήδησε. τότε δὲ διπλοῦν τι τέρας ἐ-γένετο· τό τε γὰρ χάσμα ἀν-ε-πληρώθη, καὶ βωμός τις λίθινος, ὅσπερ ἔ-τυχε πλησίον ἱδρυμένος, ἐ-γένετο χρυσοῦς.*

CRIMINALS IN AETHIOPIA.

54. *νόμος ἦν ποτε τοῖς Αἰθίοψι τῶν ἀδικούντων μηδένα δημοσίᾳ ἀπο-κτείνειν, μηδὲ εἰ κατα-δικασθείς τις φανείη τῆς τοιαύτης τιμωρίας ἄξιος ὤν. ἀλλ' ἔ-πεμπεν ὁ βασιλεὺς ὑπηρέτην πρὸς τὸν τοιοῦτον, σημεῖόν τι θανάτου ἔχοντα ἐν ταῖς χερσίν. ἔ-δει δὲ οὖν τὸν παρανομήσαντα, ἰδόντα τοῦτο τὸ σημεῖον, ἀπ-ιέναι εὐθὺς εἰς τὴν ἑαυτοῦ οἰκίαν, καὶ ἐκ τοῦ ζῆν ἑαυτὸν μεθ-ιστάναι· φεύγειν δὲ οὐκ ἐξ-ῆν ἐκ τῆς ἰδίας χώρας εἰς τὴν ὅμορον, οὐδὲ (καθάπερ παρὰ τοῖς Ἕλλησι) τῇ μεταστάσει τῆς πατρίδος τὴν αἰτίαν κατα-λύειν. φασὶ δέ τινά ποτε τῶν Αἰθιόπων κατα-δικασθέντα ἐπι-νοῆσαι οὕτως δια-φεύγειν, αἰσθομένην δὲ τὴν μητέρα αὐτοχειρίᾳ τὸν υἱὸν ἀπο-κτεῖναι.*

A RACE FOR A WIFE.

55. *βουλομένη ἡ Ἀταλάντη παρθένος μένειν, μνηστευθεῖσα δὲ ὑπὸ πολλῶν, ἐ-μηχανήσατο τοιάδε. στάδιόν τι δι-ε-μέτρησεν, ἔ-πηξε δὲ μέσον αὐτοῦ σκόλοπα τρίπηχυν· ἔπειτα δὲ ἔ-δει ἕκαστον τῶν μνηστευόντων θεῖν τὸν δρόμον τοῦτον, ἡ δὲ ἐ-δίωκεν. ὅσους δὲ κατα-λάβοι τρέχοντας, θάνατος τούτοις ἡ ζημία ἦν· εἰ δέ τις μὴ ἁλοίη, τούτῳ ἐκείνην γαμεῖσθαι ἔ-δει. τοὺς μὲν οὖν ἄλλους τῶν μνηστευόντων ῥᾳδίως κατ-έ-λαβε, ταχυτῆτι γὰρ πάντων θνητῶν ὑπερ-εῖχε· καὶ ἁλόντες αὐτίκα ἐ-θανατώθησαν. νεανίσκος δέ τις, ὀνόματι Μειλανίων, ἦλθεν ἐπὶ τὸν δρόμον χρυσᾶ τινὰ μῆλα ἐν ταῖς χερσὶν ἔχων, καὶ διωκόμενος ταῦτα ἀπ-έ-ρ-ριπτεν, ἡ δέ, ἐπι-σχοῦσα ἵνα ἀν-αιροῖτο αὐτά, οὕτως ἐ-νικήθη.*

DRIMACUS THE OUTLAW.

56. *οἱ Χῖοί ποτε κακὰ πολλὰ ἔ-πασχον διὰ τόδε. νόμος ἦν αὐτοῖς χρῆσθαι δούλοις βαρβάροις· τούτων δὲ*

πολλοὶ ἀπο-διδράσκοντες συν-ηθροίζοντο ἐν τοῖς ὄρεσι, καὶ κατα-βαίνοντες ἐκεῖθεν ἥρπαζον τὰ τῶν δεσποτῶν. ἡ γὰρ νῆσος τραχεῖά ἐστι καὶ ὑλώδης, ὥστε διὰ ταῦτα ἐκεῖνοι ῥᾳδίως ἐ-κρύπτευον. φασὶ δέ τινες τῶν παλαιῶν λογογράφων, ὡς οἰκέτης τις, ὀνόματι Δρίμακος, ἀπο-δράς ποτε ἐς τὰ ὄρη, τὰ πλεῖστα ἔ-βλαπτε τοὺς ἐπιχωρίους. ἀνδρεῖός τε γὰρ ἦν ὁ ἄνθρωπος, καὶ εὐτυχίᾳ πολλῇ ἐ-χρῆτο ἐν ταῖς ἐπιδρομαῖς· διόπερ καὶ οἱ ἄλλοι δραπέται συνίσταντο εἰς τοῦτον πανταχόθεν, καὶ ἐ-πειθάρχουν αὐτῷ ὥσπερ βασιλεῖ.

57. *ἐπὶ τοῦτον οὖν τὸν Δρίμακον οἱ Χῖοι πολλάκις ἐπ-ε-στράτευον, ἀλλ' οὐδὲν ἀνύτειν δυνάμενοι ἔτι μᾶλλον ὑπ' αὐτοῦ ἐ-φθείροντο. ὁρῶν δὲ αὐτοὺς μάτην ἀπ-ολλυμένους ὁ Δρίμακος ἐ-βουλεύετο ὁμολογίαν τινὰ ποιεῖσθαι πρὸς αὐτούς, καὶ ἄδειαν λαβὼν ἔ-λεξε πρὸς τοὺς στρατηγοὺς τάδε. "ὦ ἄνδρες Χῖοι καὶ κύριοι, τὰ πράγματα τάδε, ἅπερ ὑμῖν ἡμεῖς παρ-έχομεν, βίᾳ μὲν οὐδέποτε παύσετε. ἔστι γὰρ χρησμὸς ὑπὸ θεοῦ τινὸς δοθεὶς, ὡς δεῖ ὑμᾶς ταῦτα πάντα ὑφ' ἡμῶν πάσχειν. νῦν δὲ ἐὰν ἐμοὶ πείθησθε, ἀπαλλαγὴν τούτων ὑμῖν δώσω. ἐᾶτε γὰρ μόνον ἡμᾶς ἡσυχίαν ἄγειν, ἐγὼ δὲ ὑμῖν ἀντὶ τούτων τὰ πλεῖστα τῶν παρ-όντων κακῶν ἰάσομαι."*

58. *ἀκούσαντες δὲ ταῦτα οἱ Χῖοι ἐ-σπείσαντο πρὸς τὸν Δρίμακον. ὁ δὲ ἐκ τούτων ἠνάγκαζε τοὺς δραπέτας πάντας εὔκοσμον βίον ἄγειν, τοὺς δὲ ἀτακτοῦντας ἐ-κόλαζε, καὶ οὐδενὶ ἐπ-έ-τρεπε συλᾶν τοὺς ἀγρούς, οὐδὲ ἄλλο οὐδὲν ἀδικεῖν, ὅσα μὴ αὐτὸς κελεύοι. εἰ δέ τις τῶν Χίων ἐπιβουλεύοι αὐτῷ, ἢ ἐνέδρας κατα-σκευάζοι, τοῦτον μὲν ἐ-τιμωρεῖτο, τοὺς δὲ ἄλλους κακὸν οὐδὲν ἐ-ποίει. ὁπότε δὲ δοῦλός τις εἰς ἑαυτὸν ἀπο-διδράσκοι, τούτου τὴν αἰτίαν*

ἔ-κρινε. καὶ τοὺς δοκοῦντας ἀνήκεστόν τι πε-πονθέναι ἔ-σωζε μεθ' ἑαυτοῦ, τοὺς δὲ δίκαιον μηδὲν λέγοντας ἀπ-έ-πεμπε πάλιν τοῖς δεσπόταις. πολλῷ οὖν ἔλασσον οἱ οἰκέται ἀπ-ε-δίδρασκον, φοβούμενοι τὴν ἐκείνου κρίσιν.

59. ἀλλὰ τέλος ἐ-κήρυξαν οἱ Χῖοι δώσειν χρήματα πολλά, εἴ τις ζωγρήσαι τὸν Δρίμακον, ἢ τὴν κεφαλὴν αὐτοῦ κομίσαι. πρὸς ταῦτα οὖν ἐκεῖνος καλέσας τινὰ τῶν ἑαυτοῦ ἑταίρων λέγει τοιάδε. "ὦ φίλε! ἐγὼ μὲν ἱκανὸν χρόνον βε-βίωκα, σὺ δὲ νέος εἶ καὶ ἀκμαῖος. ὥστε περὶ μὲν ἐμαυτοῦ οὔ μοι μέλει, βούλομαι δέ σε ὡς οἷόν τε μάλιστα εὐεργετεῖν. ἐπεὶ οὖν φασὶν οἱ Χῖοι δώσειν χρήματα πολλὰ τῷ ἐμὲ ἀπο-κτείναντι, δεῖ σε ἀφ-ελόντα μου τὴν κεφαλὴν κομίσαι ἐς τὴν πόλιν, καὶ λαβόντα τὰ χρήματα πλούσιον γενέσθαι καὶ εὐδαίμονα." ἀντι-λέγοντος δὲ τοῦ νεανίσκου, ὅμως πείθει αὐτὸν ποιῆσαι τοῦτο.

60. ἀπ-έ-κτεινεν οὖν τὸν Δρίμακον ὁ νεανίσκος, καὶ τὴν κεφαλὴν αὐτοῦ ἀφ-ελὼν ἐ-κόμισεν ἐς τὴν πόλιν. ἔπειτα δὲ ἔ-λαβε παρὰ τῶν ἀρχόντων τὰ χρήματα, ἅπερ ἐπ-ηγγείλαντο, καὶ θάψας τὸ σῶμα τοῦ τεθνηκότος ἀπ-ῄει ἐς τὴν Ἀσίαν. ἠδίκουν οὖν πάλιν τοὺς Χίους οἱ δραπέται καὶ ἥρπαζον· τε-τελευτηκότος γὰρ τοῦ Δριμάκου, οὐκέτι ὑπ' οὐδενὸς ἐ-κωλύοντο μὴ ταῦτα ποιεῖν. οἱ δὲ Χῖοι, παθόντες ὑπ' αὐτῶν κακὰ πολλά, ἐ-μνήσθησαν τῆς ἐκείνου ἐπιεικείας, καὶ πεσόντες ἐς μετάνοιαν ἐ-τίμων τὸν Δρίμακον ὡς ἥρωα, καὶ σηκόν τινα αὐτῷ καθ-ιέρωσαν. ἔ-θυον δὲ αὐτῷ οἵ τε Χῖοι καὶ οἱ δραπέται, ἐλθόντες ἐκεῖσε, οὗ τὸ ἡρῷον αὐτοῦ ἦν.

ORPHEUS AND EURYDICE.

61. ὁ κιθαρῳδὸς Ὀρφεὺς Εὐρυδίκην ἔ-γημεν. ἡ δὲ δηχθεῖσα ὑπὸ ὄφεώς τινος ἀπ-έ-θανε καὶ κατ-ῆλθεν ἐς

Ἅιδου. λυπούμενος δὲ ἐκεῖνος διὰ ταῦτα, κατ-έ-βη καὶ αὐτὸς ἐκεῖσε, τὴν κιθάραν ἔχων, ἐ-βούλετο γὰρ πείθειν τὸν Πλούτωνα ὥστε αὐτὴν ἀνα-πέμψαι. ἀφ-ικόμενος οὖν παρὰ τοῦτον, ἐ-κιθάρισεν ὡς ἐ-δύνατο κάλλιστα· ἀκούσας δὲ ὁ Πλούτων ἥσθη τε, καὶ ὑπ-έ-σχετο τὴν γυναῖκα ἀπο-δώσειν, ἐὰν ἐπ-αν-ερχόμενος ὁ Ὀρφεὺς μὴ μετα-στρέφηται, πρὶν ἂν ἐς τὴν ἑαυτοῦ οἰκίαν παρα-γένηται. ἀπ-ῆλθεν οὖν πάλιν ὁ κιθαρῳδὸς, ἡ δὲ Εὐρυδίκη εἵπετο ὄπισθεν πορευο-μένη. τέλος δὲ ἐπιθυμῶν σφόδρα ὁ Ὀρφεὺς τὴν γυναῖκα θεάσασθαι μετ-ε-στράφη. ἡ δὲ ἠναγκάσθη διὰ ταῦτα ἐς Ἅιδου αὖθις κατ-ελθεῖν.

THE DEATH OF CALANUS.

62. φιλόσοφός τις ἐν τῇ Ἰνδικῇ, ὀνόματι Κάλανος, δι-ε-χρήσατο ἑαυτὸν ὧδε, λέγων ὅτι βούλεται ἀπο-λύεσθαι ἐκ τῶν τοῦ σώματος δεσμῶν. πυρὰν ἔ-νησεν ἐν τῷ καλλίστῳ προαστείῳ τῆς πόλεως, καὶ ἦν τὰ ξύλα αὖά τε καὶ εὖ μάλα ἐπίλεκτα πρὸς εὐωδίαν, κέδρου τε καὶ μυρσίνης καὶ τῶν τοιούτων δένδρων πάντων. ἀν-ελθὼν δὲ ἔπειτα ἔ-στη ἐπὶ μέσης τῆς πυρᾶς, ἐ-στεφανωμένος καλάμῳ. καὶ βλέπων πρὸς τὸν Ἥλιον προς-ε-κύνησεν αὐτὸν, τοῦτο δὲ ἦν τὸ σύνθημα τοῖς τὴν πυρὰν περι-στᾶσι, καὶ ἧψαν αὐτὴν ὅτι τάχιστα. ὁ δὲ Κάλανος, περι-ληφθεὶς κύκλῳ ὑπὸ τῆς φλογὸς, οὐδὲ τότε ἐν-έ-δωκεν· ἀλλ' ἔ-μεινεν ἑ-στηκὼς ὀρθὸς, ἕως δι-ε-λύθη.

APOLLO AND MARSYAS.

63. ἡ Ἀθηνᾶ τέως μὲν τὴν αὐλητικὴν ἐ-μελέτα· ἔπειτα δὲ τοὺς αὐλοὺς ἀπ-έ-ρ-ριψεν, αἰσθομένη αὐτοὺς στρε-βλοῦντας τὸ στόμα, καὶ ἄμορφον τὴν ὄψιν ποιοῦντας. τούτους δὲ τοὺς αὐλοὺς εὑρὼν Μαρσύας τις ἐς τοσοῦτον ἐ-σεμνύνετο, ὥστε ἦλθεν ἐς ἔριν τῷ Ἀπόλλωνι περὶ

μουσικῆς. καὶ ἠγωνίσαντο συν-θέμενοι, ἐφ' ᾧ ὁ νικήσας δια-χρήσεται τὸν ἡσσηθέντα. κρίσεως οὖν γιγνομένης, ὁ μὲν Ἀπόλλων λαβὼν τὴν κιθάραν ᾖδεν, ἐ-κέλευσε δὲ τὸν Μαρσύαν ταὐτὸ ποιεῖν. ἐπειδὴ δὲ οὐκ ἐ-δύνατο, τοῖς δὲ αὐλοῖς δι' ἀμουσίαν οὐκ εὖ ἐ-χρῆτο, ὁ Ἀπόλλων εὑρέθη κρείσσων. ἀνα-κρεμάσας οὖν τὸν Μαρσύαν ἐκ πίτυός τινος, καὶ τὸ δέρμα περι-ελὼν, οὕτως ἐκεῖνον ἀπ-έ-κτεινεν.

EPICHARMUS.

64. φασί τινες ὡς Ἐπίχαρμος, πάνυ πρεσβύτης ἤδη ὢν, μετὰ ἡλικιωτῶν τινων ἐν λέσχῃ ποτὲ ἐ-κάθ-ητο. διάλογος δέ τις ἐ-γένετο ἐν αὐτοῖς περὶ τοῦ γήρως. ὁ μὲν οὖν τῶν γερόντων ἔ-φη, "ἐμοὶ μὲν ἅλις ἐστὶ πέντε ἔτη μετὰ τόδε βιῶναι." ἄλλος δὲ εἶπεν, "ἐμοὶ δὲ τρία·" τρίτος δὲ, "ἀλλ' ἐμοί γε τέσσαρα." ὑπο-λαβὼν οὖν ὁ Ἐπίχαρμος ἔ-λεξε τοιάδε. "ὦ φίλοι, τί στασιάζομεν ὧδε καὶ δια-φερόμεθα ὑπὲρ ὀλίγων τινῶν ἡμερῶν; ἡμῖν γὰρ πᾶσιν, ὅσοι κατὰ τύχην ἐπὶ γῆς συν-εληλύθαμεν, οὐ πόρρω ἄπ-εστιν ἡ τελευτή. λυσιτελεῖ οὖν ἡμῖν πᾶσιν ἀπ-αλλάσσεσθαι ὡς τάχιστα, ἵνα τὰ κακὰ τοῦ γήρως δια-φεύγωμεν."

THE BEAR'S TAIL.

65. λέγουσί τινες τῶν παλαιῶν μυθολόγων, ὡς ἄρκτος ποτὲ ἐν χειμῶνος ὥρᾳ ἠπόρει, τροφῆς σπανίζουσα. τότε δὲ ἐπὶ ἀλώπεκί τινι κατὰ τύχην ἐπι-γενομένη, ἐ-βούλετο ταύτην ἁρπάσασα κατα-φαγεῖν. ἡ δὲ ἀλώπηξ φοβηθεῖσα ἐ-κέλευσε, τοῦτο μὲν μὴ ποιεῖν, ἀκοῦσαι δὲ μᾶλλον, ἃ αὐτὴ διδάξει. "ἢν γὰρ," ἔ-φη, "(ὥσπερ ἐν νῷ νῦν ἔχεις,) ἐμὲ κατα-φάγῃς, εὑρήσεις τὸ βρῶμα τοῦτο οὐ πάνυ ἡδὺ ὄν. ἢν δὲ τάδε ποιῇς, ἃ ἐν τῷ παρ-όντι ἔχω εἰπεῖν, ἀπο-λαύσει

αὐτίκα ἡδίστου δείπνου." ἡ μὲν οὖν ἄρκτος ἐπὶ τούτοις ὡμολόγει. ἡ δὲ ἀλώπηξ ἔ-φη, δεῖν ἐκείνην κατα-βαίνειν πρὸς τὸν ποταμὸν, καὶ, δια-ρ-ρήξασάν τι τοῦ κρυστάλλου, τὴν οὐρὰν καθ-ιέναι.

66. "οἱ γὰρ ἰχθῦς," ἔ-φη, "ἐλθόντες ἕξονται τῆς οὐρᾶς· σὺ δὲ, ὅταν βούλῃ, δυνήσει αὐτοὺς ἀν-έλκειν. ἢν δέ τι καὶ δάκνωσιν, οὐ δεῖ σε ταραχθῆναι, ἐπειδὰν δὲ πολλοὺς ἰχθῦς ἔχῃς, τότε δὴ ἀν-έλκειν πάντας." ἡσθεῖσα οὖν ἐπὶ τῷ βουλεύματι ἡ ἄρκτος ἀπ-έ-λυσέ τε τὴν ἀλώπεκα, καὶ τὰ ἄλλα ἐ-ποίησεν, ὅσα ἐκείνη ἐ-κέλευσεν. καὶ οἱ μὲν ἰχθῦς τῇ οὐρᾷ οὐ προς-ῆλθον· ὁ δὲ κρύσταλλος περι-πηγνύμενος ἐ-πίεζεν. ἡ δὲ ἄρκτος οὐκ ἐ-ταράχθη, οἰομένη τοὺς ἰχθῦς ταῦτα ποιεῖν. τέλος δὲ, βουλομένη τὴν οὐρὰν ἀπο-σπᾶν, οὐκ ἐ-δύνατο· ἀλλ' ἀπ-έ-ρ-ρηξεν αὐτήν. καὶ διὰ ταῦτα αἱ ἄρκτοι βραχείας νῦν τὰς οὐρὰς ἔχουσι.

KINDNESS REWARDED.

67. βασιλεύς τις, στρατείαν ποτὲ ποιούμενος, ὄνον εἶδε χρυσὸν πολὺν πρὸς τὸ στρατήγιον φέροντα. ἔ-τυχον γάρ τινες τῶν ὑφ' ἑαυτοῦ φρούριόν τι τῶν πολεμίων δι-αρπάσαντες, εὑρόντες δὲ ἐν αὐτῷ χρήματα ἐγ-κατα-λειφθέντα, ταῦτα ἔ-πεμπον παρὰ τὸν βασιλέα. βαρέος δὲ τοῦ φορτίου ὄντος, ὁ μὲν ὄνος ἀπ-έ-καμεν· ὁ δὲ ὀνηλάτης ἐλεήσας ἐκεῖνον μὲν ἔ-λυσε, τὸν δὲ χρυσὸν αὐτὸς ἄρας ἔ-φερεν. ἡσθεὶς δὲ τούτοις ὁ βασιλεὺς προσ-ῆλθε τῷ ἀνθρώπῳ. ἰδὼν δὲ αὐτὸν βαρυνόμενον, "θάρσει," ἔ-φη, "ὦ φίλε! καί τι ἀνα-παῦσαι· ἔπειτα δὲ, ἀνα-λαβὼν τὸν χρυσὸν, αὐτὸς κατ-έχε. ὁ γὰρ τὸν κακοπαθοῦντα εὐεργετήσας ἄξιός ἐστι καὶ αὐτὸς, ὅταν κακοπαθῇ, εὐεργετεῖσθαι."

DEMOSTHENES AND THE ACTOR.

68. *Δημοσθένης, νεανίσκος ἔτι ὤν, ἐ-βούλετο ῥήτωρ γένεσθαι. πολλάκις οὖν ἐπ-ε-χείρησε παρ-ιέναι ἐς τὴν ἐκκλησίαν, καὶ δημηγορεῖν. ἀλλ' οὐδὲ τὰ καίρια λέγων ἔ-πειθε ῥᾳδίως τοὺς ἀκούοντας. ἦν γὰρ ἀσθενής τε ἡ φωνὴ, καὶ ἡ γλῶσσα ἀσαφής. βαρέως δὲ ταῦτα φέρων, ἀπ-ῄει ποτὲ οἴκαδε ἐκ τῆς ἐκκλησίας, συγ-κε-καλυμμένος καὶ ἀγανακτῶν. Σάτυρος δὲ ὁ ὑποκριτὴς, ἐπιτήδειος ὤν, αὐτῷ ἐπ-ηκολούθησε, καὶ ἐ-κέλευσε θαρρεῖν. ὁ μὲν ουν Δημοσθένης ὠδύρετο πρὸς τοῦτον. "ἐγὼ γὰρ," ἔ-φη, "κατα-γελῶμαι ἀεὶ καὶ περι-ορῶμαι, καίπερ φιλοπονώτατος ὢν πάντων ῥητόρων. ὅταν δὲ αὖ παρ-ίῃ φορτικός τις ἄνθρωπος καὶ ἀμαθὴς, ἀκούεταί τε ὁ τοιοῦτος, καὶ τὸ βῆμα κατ-έχει."*

69. *ὁ δὲ Σάτυρος πρὸς ταῦτα, "ἀληθῆ," ἔ-φη, "λέγεις. ἀλλ' ἐγὼ ταῦτα ταχέως ἰάσομαι, ἢν θέλῃς μοι εἰπεῖν ῥῆσίν τινα Εὐριπίδου ἢ Σοφοκλέους." ἐ-ποίησεν ἄρα ταῦτα ὁ Δημοσθένης. ὁ δὲ Σάτυρος δι-εξ-ῆλθεν ἔπειτα τὰς αὐτὰς ῥήσεις, χρώμενος πρέποντι τόνῳ καὶ ὑποκρίσει, ὥστε ἐ-φαίνοντο ὅλως ἕτεραι. ἀκούσας δὲ ὁ Δημοσθένης ἐ-θαύμασε. καλὰ γὰρ ἦν καὶ πρὶν τὰ ἔπη· ὁ δὲ τόνος νῦν τὸ κάλλος αὐτῶν ἐ-ποίει πολλάκις τοσοῦτον. ἐκ τούτου οὖν τὴν ὑπόκρισιν συνεχῶς ἐ-μελέτησε. καὶ, μισθωσάμενος ὑπόγειόν τινα οἰκίσκον, δι-ε-πόνησεν ἐκεῖ τήν τε φωνὴν καὶ τοῦ παντὸς σώματος τὰς κινήσεις. ταῦτα δὲ ποιήσας, πάντων ῥητόρων ἐ-γένετο πιθανώτατος.*

HOW PLATO BECAME A PHILOSOPHER.

70. *Πλάτων ὁ φιλόσοφος, νεανίσκος ἔτι ὤν, τῇ ποιήσει μάλιστα προς-έκειτο. πρῶτον μὲν οὖν ἡρωϊκὰ ἔπη ἔ-γραψεν. ἐξ-ετάσας δὲ αὐτὰ πρὸς τὰ τοῦ Ὁμήρου*

ποιήματα, καὶ ἐκεῖνα εὑρὼν πολὺ καλλίω, πάντα, ὅσα αὐτὸς ἔ-γραψεν, κατ-έ-καυσε. μετὰ δὲ ταῦτα ἐ-βουλεύετο τραγῳδοποιὸς γένεσθαι, καὶ δὴ καὶ τετραλογίαν ἔ-γραψε. ταύτην οὖν ἔ-μελλε διδάσκειν ἐν τοῖς Διονυσίοις· ἀλλὰ δοὺς ἤδη τοῖς ὑποκριταῖς τὰ ποιήματα, ἤκουσε κατὰ τύχην τοῦ Σωκράτους δια-λεγομένου. τούτου τοίνυν τοῖς ῥήμασι σφόδρα ἡσθείς, οὐκέτι ἐπ-ε-θύμει τραγῳδοποιὸς γένεσθαι, ἐκείνου δὲ μᾶλλον ἀκροατής. ὥστε οὐ μόνον τότε ἀπ-έ-σχετο τῶν Διονυσίων, ἀλλά, τὴν ποίησιν ὅλως ἀπο-ρ-ρίψας, τῇ φιλοσοφίᾳ συνεχῶς προς-έ-κειτο.

THE DEATH OF PAN.

71. *λόγος τίς ἐστιν, ὡς ναῦς ποτε εἰς Ἰταλίαν ἔ-πλει, ἄγουσα ἐμπορικά τε χρήματα καὶ πολλοὺς ἐπιβάτας. ἑσπέρας οὖν ἐ-γένετο ἡ ναῦς πλησίον τῶν Ἐχινάδων νήσων· τῶν δὲ ἐμ-πλεόντων οἱ πλεῖστοι ἐγρηγόρεσαν, πολλοὶ δὲ ἔ-πινον ἔτι, δε-δειπνηκότες. ἐξαίφνης τοίνυν ἀπὸ τῶν νήσων φωνὴ ἠκούσθη βοῶντός τινος, "Θαμοῦ! Θαμοῦ!" ἔ-τυχε δὲ τὴν ναῦν τότε κυβερνῶν Θαμοῦς τις, Αἰγύπτιος· τοῖς δὲ πολλοῖς τῶν πλεόντων οὐδὲ ἀπ' ὀνόματος γνώριμος ἦν. δὶς μὲν οὖν κληθεὶς ὁ ἄνθρωπος ἐ-σιώπησε, τὸ δὲ τρίτον τῷ καλοῦντι ὑπ-ήκουσε. καὶ ἐπι-τείνας ἐκεῖνος τὴν φωνὴν ἔ-φη, "ὅταν ἀφ-ίκῃ ἐς τὸ Πηλῶδες, ἀπ-άγγειλον, ὅτι Πὰν ὁ μέγας τέ-θνηκε."*

72. *ἀκούσαντες δ' οὖν τὴν φωνὴν πάντες ἐξ-ε-πλάγησαν. ὁ δὲ Θαμοῦς τοῖς ἄλλοις συν-ε-βουλεύσατο, εἴτε βέλτιον εἴη ποιῆσαι τὸ προς-τεταγμένον, εἴτε μὴ πολυπραγμονεῖν ἀλλὰ σιωπᾶν. ἀκούσας δὲ ἃ ἕκαστος λέγει, δι-έ-γνω, ἐὰν μὲν πνεῦμα ᾖ, παρα-πλεῖν ἡσυχίαν ἔχοντα, ἐὰν δὲ γαλήνη περὶ τὸν τόπον γένηται, ἀγγεῖλαι ἃ προς-ε-τάχθη. ἐπειδὴ δὲ ἐς τὸ Πηλῶδες ἡ ναῦς ἀφ-ίκετο, οὔτε πνεῦμα οὐδὲν ἦν*

οὔτε ἄνεμος. βλέπων οὖν ἐκ πρύμνης ἐς τὴν γῆν, εἶπεν ὁ Θαμοῦς (καθάπερ ἤκουσεν), ὅτι "ὁ μέγας Πὰν τέθνηκε." παυσαμένου δὲ αὐτοῦ, εὐθὺς ἀπὸ τῆς γῆς ἠκούσθη ὀλοφυρμὸς μέγας, οὐχ ἑνὸς ἀλλὰ πολλῶν, ὡς τὸ ἄγγελμα θαυμαζόντων.

THE PICTURE.

73. στρατηγός τις ἄλλως τε ἦν φιλόκαλος, καὶ περὶ ζωγραφημάτων μάλιστα ἐ-σπούδαζεν. ὁπότε οὖν πόλιν τινὰ τῶν πολεμίων πολιορκήσας ἕλοι, εἰς-ῄει οὐ μόνον εἰς οἰκίας ἰδιωτῶν, ἀλλὰ καὶ εἰς ἄδυτα καὶ ναοὺς, ζητῶν τὰς καλλίστας τῶν ἐν-ουσῶν γραφῶν. ὅσας δὲ εὕροι, εὐθὺς εἰς τὴν ἑαυτοῦ οἰκίαν ἀπ-έ-πεμψεν. ἑστιῶν δέ ποτε παρ' ἑαυτῷ ξένον τινὰ, ἔ-δειξεν αὐτῷ τὴν οἰκίαν πᾶσαν, ἦν γὰρ ἀξιοθέατος. εἰς-ελθὼν οὖν ὁ ξένος εἰς ἀνώγεών τι, εἶδε γραφὰς πολλὰς κρεμαμένας. καλαὶ μὲν οὖν ἦσαν καὶ αἱ ἄλλαι· μία δέ τις γραφὴ ἦν διαφερόντως λαμπρὰ, ὥστε οὐ ῥᾴδιόν ἐστιν αὐτὴν ἱκανῶς ἐπ-αινεῖν.

74. ὁ μὲν οὖν ξένος ἡσθεὶς εἶπεν, "ὦ μακάριε σὺ τῆς τύχης, ὃς τὰ τοιαῦτα τεχνήματα ἐν τῇ οἰκίᾳ ἔχεις!" ὁ δὲ στρατηγὸς γελάσας, "ναὶ," ἔ-φη, "καὶ, νὴ Δία, τήνδε γε τὴν γραφὴν ὁρῶν, καὶ μάλιστα ἥδομαι. διὰ γὰρ ταύτης ἄνδρα τινὰ γενναῖον ἐκ θανάτου ποτὲ ἔ-σωσα." ὁ μὲν οὖν ξένος ἐ-θαύμαζεν· ὁ δὲ στρατηγὸς, "ἀληθῆ," ἔ-φη, "λέγω. πυθόμενος γὰρ ταύτην τὴν γραφὴν ἐν ναῷ τινι ἐν-εῖναι, εὑρεῖν οὐκ ἐ-δυνάμην. πρὸς ταῦτα οὖν ἠπείλησα ἀνα-σταυρώσειν τὸν τοῦ ναοῦ φύλακα, ἢν μὴ τὴν γραφὴν ἀπο-δεικνύῃ. φοβηθεὶς οὖν ἐκεῖνος ἐ-ποίησε τὸ κελευόμενον, καὶ τὴν γραφὴν ἀπο-δοὺς, διὰ ταύτης ἐκ θανάτου ἐσώθη."

DIGNITY AND IMPUDENCE.

75. βασιλεύς τις στρατιώτην θησαυρῷ φύλακα ἐπ-έ-στησε, κελεύων αὐτὸν ἐκεῖθεν μὴ ἀπ-ιέναι. ἐπὶ τούτοις οὖν ἐκεῖνος πρὸς τοὺς παρ-ιόντας ἐ-σεμνύνετο, ὡς καλῶς τε ὡπλισμένος καὶ πορφυρᾶν χλαῖναν φορῶν· ἅμα δὲ ἐ-λογίσατο τὸν βασιλέα στῆσαι ἐκεῖ αὐτὸν τιμῆς ἕνεκα, ὡς πιστὸν καὶ χρήσιμον δοκοῦντα εἶναι. παρ-ιὼν δὲ παῖς τις ἔ-σκωψεν αὐτὸν, ὁ δὲ ὀργισθεὶς εἶπε πάνυ σεμνῶς, "ὦ οὗτος, οὐκ ἄπ-ει ὡς τάχιστα; οὐ γὰρ δεῖ σε ἐνθάδε μένοντα ληρεῖν." ὁ δὲ παῖς ἀντ-εῖπεν οὐχ ἧσσον σεμνῶς, "ἀλλ', ὦ οὗτος, σύ γε οὐκ ἄπ-ει· οὐ γὰρ ἔξ-εστί σοι, οὐδ' εἰ βούλει, δεῖ δέ σε ἐκεῖ μένειν, ἐφ' ὅσον ἂν σε ὁ βασιλεὺς κελεύῃ."

THE ISLES OF THE BLEST.

76. περὶ τῶν Ἀτλαντικῶν νήσων φησὶν ὁ Πλούταρχος, ὅτι δύο εἰσὶν, ἀπ-έχουσι δὲ τῆς Λιβύης μυρίους μάλιστα σταδίους. χρῶνται δὲ ὄμβροις μὲν μετρίοις, ἀνέμοις δὲ μαλακοῖς ἀεὶ καὶ δροσεροῖς· ὥστε, καρποὺς πολλοὺς φέρουσαι καὶ αὐτοφυεῖς, τρέφουσι τὸν ἐν-οικοῦντα δῆμον ἄνευ πόνων σχολάζοντα. ἀὴρ δὲ ἥδιστος τὰς νήσους κατ-έχει. οἱ μὲν γὰρ βορέαι καὶ ἀπηλιῶται, ἀπο-πνέοντες ἀπὸ τῆς Εὐρώπης πόρρωθεν ἀπ-ούσης, προ-λείπουσι πρὶν ἐκεῖσε δι-ικνεῖσθαι. οἱ δὲ νότοι καὶ ζέφυροι, πελάγιοι ὄντες, τὰς νήσους ἀεὶ περι-ρ-ρέουσι, καὶ τοὺς ἐπιχωρίους ἡσυχῇ τρέφουσιν. πιστεύουσιν οὖν οἱ Λίβυες πάντες, αὐτόθι εἶναι τὸ Ἠλύσιον καὶ τὰς τῶν μακάρων νήσους, ἅσπερ καὶ ὁ Ὅμηρος ὑμνεῖ.

THE GRATEFUL PERSIAN.

77. Ἰάφαρός τις πάντων Περσῶν δυνατώτατος μετὰ τὸν βασιλέα ἐ-γένετο. ἦν δὲ καὶ πρᾶος ὁ ἀνὴρ, καὶ

ἐλευθέριος, ὥστε ἔπαινον πρὸς πάντων ἔ-σχε, μάλιστα δὲ πρὸς τῶν πενήτων· φθονοῦντες δὲ αὐτῷ κόλακές τινες ψευδῆ ἔ-πλασαν· ἃ ἀκούσας ὁ βασιλεὺς, καὶ ὀργισθεὶς, τὸν Ἰάφαρον ἀδικῶς ἀπ-έ-κτεινεν. ἐ-κέλευσε δὲ πρὸς τούτοις, μηδένα τοῦ τεθνηκότος μηδὲ τὸ ὄνομα φωνεῖν· εἰ δὲ μὴ, θάνατον τὴν ζημίαν εἶναι.

ἀλλὰ πένης τις ἄνθρωπος, συχνὰ ὑπὸ τοῦ Ἰαφάρου εὐεργετηθεὶς, ἠγανάκτησε ταῦτα ἀκούσας. ἐ-δόκει γὰρ ἀχαρίστου εἶναι, τῶν φίλων ἀμνημονεῖν. πολλάκις οὖν τὸν Ἰάφαρον ὡς ἄριστον ἄνδρα ἐγκωμιάζων, συλ-ληφθεὶς τέλος, ἀπ-ήχθη ὡς τὸν βασιλέα.

78. *ἀφ-ικόμενος δὲ ἐς κρίσιν ὁ ἄνθρωπος, οὐδὲν ἧσσον ἢ πρὶν δι-ε-τέλει τὸν Ἰάφαρον ἐπ-αινῶν. ὥστε, θαυμάσας αὐτοῦ τὴν ἀφοβίαν, ὁ βασιλεὺς ἐ-βούλετο αὐτὸν ἀπο-λῦσαι. ἀλλ' ἐ-κέλευσεν ἅμα τὸ λοιπὸν μὴ παρανομεῖν, σιγᾶν δὲ περὶ τοῦ Ἰαφάρου. ὁ δὲ ἄνθρωπος, "ὦ βασιλεῦ," ἔ-φη, "ἕτοιμος ἐγώ εἰμι κολασθῆναί τε διὰ ταῦτα, καὶ (εἰ δοκεῖ σοι) καὶ ἀπο-θανεῖν. τόδε γε μέντοι οὐδέποτέ σοι πείσομαι, ἢν κελεύῃς με τοῦ εὐεργέτου ἀμνημονεῖν." τότε δὲ ὁ βασιλεὺς τῷ ἀνδρὶ σφόδρα ἀγασθεὶς, οὐ μόνον ἀπ-έ-λυσεν αὐτὸν, ἀλλὰ καὶ πολυτελῆ τινα σφραγῖδα αὐτῷ ἐπ-έ-δωκε. λαβὼν δὲ ἐκεῖνος τὸ δῶρον, "Ἰάφαρε," ἔ-φη, "καὶ τόδε σοι ὀφείλω!"*

DORIA THE PATRIOT.

79. *ἐπεὶ ὁ Δωρίας νομοθέτης ἐ-γένετο, ὑπ' ἐχθρῶν τινων πολλάκις ἐπ-ε-βουλεύθη. δείσαντες οὖν οἱ πολῖται, μὴ ἀρίστου ἄρχοντος στερίσκωνται, ἐν νῷ εἶχον πύργον ἐν μέσῃ τῇ πόλει οἰκοδομεῖν, ἵνα ἀσφαλεστέραν ἐκεῖνος τὴν οἴκησιν ἔχοι. πυθόμενος δὲ ὁ Δωρίας ταῦτα οὐκ ἐπ-ῄνει· ἀλλὰ, κατ-ελθὼν εἰς τὸ βουλευτήριον, ἔ-λεξε τοιάδε. "ὦ*

ἄνδρες, τί ποτε ποιεῖτε; δοκεῖτε γάρ μοι, ἐκεῖνα συμβουλεύοντες, περὶ τῆς ἐμῆς ἀσφαλείας φροντίζειν μᾶλλον, ἢ περὶ τῆς ὑμετέρας ἐλευθερίας. εὖ γὰρ ἴστε, ὅτι, ἢν ἐκεῖνον τὸν πύργον οἰκοδομῆτε, κατα-σχὼν ποτε αὐτόν τις τὴν πόλιν ῥᾳδίως δουλώσει. κελεύω οὖν ὑμᾶς μηδαμῶς ταῦτα ποιεῖν· μηδὲ, σώζοντας ἐμὲ, τὸ κοινὸν φθείρειν."

THE MAGIC RING.

80. περὶ τοῦ Γύγου λέγεται, ὡς ποιμὴν ἦν, θητεύων παρὰ τῷ τῆς Λυδίας βασιλεῖ. ἔ-τυχε δέ ποτε κατὰ τὸν τόπον, ἐν ᾧ ἔ-νεμεν, ὄμβρος τε πολὺς γενόμενος καὶ σεισμός· ὥστε ἐ-ρ-ράγη τι τῆς γῆς, καὶ χάσμα ἐ-γένετο. ἰδὼν δὲ ἐκεῖνος καὶ θαυμάσας κατ-έ-βη εἰς τὸ χάσμα, καὶ εἶδεν ἐκεῖ ἄλλα τε πολλὰ θαυμαστὰ καὶ ἵππον χαλκοῦν κοῖλον. θυρίδας δέ τινας ὁ ἵππος ἔ-σχε, καθ' ἃς εἶδεν ὁ Γύγης ἐγ-κύψας νεκρὸν ἐν-όντα, μείζω ἢ κατ' ἄνθρωπον. οὗτος οὖν ὁ νεκρὸς ἄλλο μὲν οὐδὲν ἔ-σχε, περὶ δὲ τῇ χειρὶ χρυσοῦν τινα δακτύλιον, ὃν περι-ελόμενος ὁ Γύγης πάλιν ἐξ-έ-βη.

81. μετὰ δὲ ταῦτα σύλλογος ἐ-γένετο τῶν ποιμένων, ἵνα ἐξ-αγγέλλοιεν τῷ βασιλεῖ τὰ περὶ τὰ ποίμνια. ἀφ-ίκετο οὖν καὶ ἐκεῖνος ὁ Γύγης, ἔχων τὸν δακτύλιον. καθ-ήμενος δὲ μετὰ τῶν ἄλλων, ἔ-τυχε τὴν σφενδόνην τοῦ δακτυλίου περι-αγ-αγὼν εἰς τὸ ἔσω τῆς χειρός. ταῦτα δὲ ποιήσας ἐ-γένετο εὐθὺς ἀφανὴς, καὶ οἱ ἄλλοι δι-ε-λέγοντο περὶ αὐτοῦ ὥσπερ ἀπ-όντος. θαυμάσας οὖν, καὶ στρέψας πάλιν ἔξω τὴν σφενδόνην, φανερὸς αὖθις ἐ-γένετο. ἔπειτα δὲ τὸ αὐτὸ πολλάκις ἐ-ποίησε, καὶ αὐτῷ ἀεὶ οὕτω συν-έ-βη. μετὰ δὲ ταῦτα ἐπι-βουλεύσας τῷ βασιλεῖ, καὶ διὰ τὸν δακτύλιον ἄδηλος γενόμενος, ἀπ-έ-κτεινέ τε αὐτὸν, καὶ τὴν βασιλείαν κατ-έ-σχε.

THE DOLPHINS.

82. Κοίρανος ὁ Μιλήσιος ἁλιέας τινὰς εἶδέ ποτε, δελφῖνα τῷ δικτύῳ λαβόντας, καὶ μέλλοντας αὐτὸν κατα-κόψειν. προς-ελθὼν οὖν τούτοις ἀργύριον ἐ-δίδου, καὶ πριάμενος τὸν δελφῖνα ἀφ-ῆκεν αὐτὸν πάλιν εἰς τὴν θάλασσαν. μετὰ δὲ ταῦτα πλοῦν ποιούμενος ὁ Κοίρανος ναυαγίᾳ ἐ-χρήσατο. καὶ οἱ μὲν ἄλλοι πάντες ἀπ-ε-πνίγη-σαν· τὸν δὲ Κοίρανον δελφὶς ἀπροσδοκήτως παρα-γενό-μενος ἔ-σωσε. γηράσας δὲ ὕστερον ὁ ἄνθρωπος ἐν τῇ ἑαυτοῦ πατρίδι ἐ-τελεύτησεν. ἡ δὲ ἐκφορὰ αὐτοῦ ἐν αὐτῷ τῷ αἰγιαλῷ κατὰ τύχην ἐ-γένετο. ἐ-φάνη οὖν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ πλῆθος πολὺ δελφίνων ἐν τῷ λιμένι, συν-ακολουθούντων τοῖς τὸν νεκρὸν ἐκ-φέρουσιν, ὡσεὶ συν-εκ-φεροντων αὐτὸν, καὶ συγ-κλαιόντων.

THE BELL-TOWER.

83. ἦν ποτε ἐν πόλει τινὶ κώδων ἐν πύργῳ ἀνα-κρεμασθείς. νόμος δὲ ἐ-γένετο ἐκ παλαιοῦ τοῖς πολίταις τοὺς ἄδικόν τι παθόντας προς-ιέναι ἐκεῖσε, καὶ τὸ σπάρτον ἐπι-σπᾶν, ὥστε τὸν κώδωνα κινούμενον ψοφεῖν. . ἔπειτα δὲ ἔ-δει τοὺς ἄρχοντας συν-έρχεσθαι εὐθὺς εἰς τὸ δικαστή-ριον, καὶ τὸ πρᾶγμα ἀκούσαντας δικάζειν.

ἄνθρωπος δέ τις τῶν πολιτῶν ἵππον ἔχων, τοῦτον οὐκ ἤθελε γηράσαντα τρέφειν, ἀλλὰ λύσας αὐτὸν ἀπὸ τῆς φάτνης ἀπ-ήλασεν. πλανώμενος οὖν ὁ ἵππος περὶ πᾶσαν τὴν πόλιν τέλος εἰς τὸν πύργον ἐφ-ίκετο. προς-ελθὼν δὲ ἐνταῦθα πρὸς τὴν θύραν, καὶ τὸ σπάρτον ἰδὼν, ἤρξατο αὐτὸ τρώγειν διὰ λιμὸν, ὁ δὲ κώδων εὐθὺς ἐ-ψόφησεν.

84. συν-αθροισθέντες τοίνυν εἰς τὸ δικαστήριον οἱ ἄρχοντες ἐ-κέλευον τὸν ἀδικηθέντα παρ-ιέναι κατὰ τὸν νόμον καὶ κατηγορεῖν. παρ-ιόντος δὲ οὐδενὸς, ἔ-πεμψαν

τὸν γραμματέα σκεψόμενον, τίς τὸ σπάρτον ἐπ-έ-σπασεν. ἀφ-ικόμενος οὖν οὗτος, καὶ ἄνθρωπον μὲν οὐδένα εὑρὼν, τὸν δὲ ἵππον μόνον ἑστηκότα πρὸ τῆς θύρας, ἐ-θαύμασέ τε καὶ τοῖς ἄρχουσι πάντα ἀπ-ήγγειλεν. ἀκούσαντες δὲ ἐκεῖνοι ἐ-νόμισαν τὸν ἵππον ἄδικα πάσχειν, ὅς γε, χρήσιμός ποτε γενόμενος τῷ δεσπότῃ, τροφῆς νῦν ἐν τῷ γήρᾳ ἐ-στέρηται. καλέσαντες οὖν τὸν ἄνθρωπον ἐ-κέλευσαν αὐτὸν τὸ λοιπὸν τρέφειν τὸν εὐεργέτην κατὰ τὸ προς-ῆκον. καὶ ἠπείλησαν ζημιώσειν αὐτὸν χρήμασιν, ἢν τὸ ἐπι-τασσόμενον μὴ ἐπι-τελῇ.

THE BARBARIAN'S PETITION.

85. Ἀντίγονος, πρὸς τοὺς Ναβαταίους πόλεμον ποιούμενος, ἔ-πεμψε τὸν υἱὸν Δημήτριον σὺν πολλοῖς στρατιώταις, προς-τάξας κολάσαι τοὺς βαρβάρους καθ' ὅντινα ἂν τρόπον δύνηται. οἱ δὲ αἰσθόμενοι ταῦτα κατ-έ-φυγον ἐς πέτραν τινὰ ὑψηλὴν, καὶ κατα-στήσαντες φυλακὴν ἱκανὴν ἀν-ε-παύοντο. παρα-γενόμενος οὖν ὁ Δημήτριος ἐ-ποιεῖτο πρὸς τὴν πέτραν προσβολὰς πολλάς. οὐ μέντοι τοῦ χωρίου ἐ-κράτησεν· οἱ γὰρ ἔνδον ἀνδρείως ἠμύνοντο, καὶ διὰ τὴν φύσιν τῶν τόπων ῥᾳδίως περι-ε-γένοντο. πρὸς ταῦτα οὖν ἀγωνισάμενος ὁ Δημήτριος μέχρι δείλης, ἀν-ε-καλέσατο τῇ σάλπιγγι τοὺς στρατιώτας. τῇ δὲ ὑστεραίᾳ τῇ πέτρᾳ αὖθις προς-βάλλει, καὶ ἀνα-βοήσας τότε τις τῶν βαρβάρων ἔ-πεισεν αὐτὸν ἀπ-ιέναι λέγων τοιάδε.

86. "βασιλεῦ Δημήτριε, τί βουλόμενος ἡμῖν ἐπ-έρχει; οἰκοῦμεν γὰρ δὴ ἐν ἐρημίᾳ, ἐχούσῃ οὔτε ὕδωρ, οὔτε σῖτον, οὔτε οἶνον, οὔτε ἁπλῶς ἄλλο τι οὐδὲν ἀγαθόν. νῦν δὲ φοβούμενοι δουλείαν κατα-πε-φεύγαμεν ἐς χώραν σπανίζουσαν πάντων τῶν ἐν τοῖς ἄλλοις χρησίμων, καὶ ἔρημον καὶ θηριώδη βίον ζῆν εἱλόμεθα, οὐδὲν ὑμᾶς βλάπτοντες.

ἀξιοῦμεν οὖν καὶ σὲ καὶ τὸν πατέρα μὴ ἀδικεῖν ἡμᾶς, ἀλλὰ, λαβόντας δωρεὰς ἱκανὰς, ἀπ-άγειν τὴν στρατιὰν, καὶ φίλους ἐς τὸ λοιπὸν τοὺς Ναβαταίους ἔχειν. εἰ δὲ βίᾳ ἡμᾶς κρατήσεις, τὸ ἦθος οὐ μετα-βαλοῦμεν, ἕξεις δὲ ἡμᾶς δούλους τινὰς δυσκόλους· οὐ γὰρ ἂν ζῆν ὑπομείναιμεν ἐν ἀλλοτρίοις νόμοις."

THE PERVERSE PIGS.

87. *Βοιωτός τις συβώτῃ ἐπ-έ-τυχε, χοίρους ἐλαύνοντι κατὰ τὴν ὁδόν. τοῦτον οὖν χαίρειν κελεύσας ἠρώτησεν, ὅποι ἴοι. ὁ δὲ ἀντ-εῖπεν, "ἐς Θήβας." ὁ μὲν οὖν Βοιωτὸς, "ἀλλ' ὦ ἀγαθὲ," ἔ-φη, "ἥδε γε ἡ ὁδὸς ἐς Πλαταίαν φέρει, ἀλλὰ (μὰ Δία) οὐκ ἐς Θήβας." ὁ δὲ συβώτης, "πρὸς θεῶν," ἔ-φη, "σίγα! πορεύομαι γὰρ ὡς ἀληθῶς ἐς Πλαταίαν, ἀλλὰ προς-ποιοῦμαι δεῖν με ἰέναι ἐς Θήβας. οἱ γὰρ χοῖροι οὕτω αὐθάδεις εἰσὶν, ὥστε ἐὰν αἴσθωνται ἐμὲ ἐκεῖνα βουλόμενον, ἀπο-δραμοῦνται εὐθὺς τὴν ἐναντίαν ὁδόν. νῦν δὲ οἴονται ἐμὲ μὲν βούλεσθαι ἰέναι ἐς Θήβας, αὐτοὶ δὲ λανθάνειν ἐς Πλαταίαν πορευόμενοι."*

HUSBAND AND WIFE.

88. *ἄνθρωπός τις Λακεδαιμόνιος, γυναῖκα ἔχων, χαλεπῶς αὐτὴν μετ-ε-χείριζε, πληγάς τε πολλὰς ἐμ-βάλλων καίπερ οὐδὲν ἀδικούσῃ, καὶ ἄλλα εἰς αὐτὴν ὑβρίζων. αἰσθόμενοι ἄρα τινὲς τῶν πλησίον, οἷα ἡ γυνὴ πάσχει, ἠγανάκτουν· καὶ τοῖς ἐφόροις τὸ πρᾶγμα ἐ-μήνυσαν. συν-ελθόντες δὲ ἐκεῖνοι ἐ-βουλεύοντο κατα-παῦσαι τὸν ἄνθρωπον τῆς ὕβρεως. πρὸς ταῦτα οὖν ἐπ-έ-βαλον ἐπ' αὐτῷ ζημίαν πολλοῦ ἀργυρίου, καὶ ἐ-κέλευσαν αὐτὸν τὸ λοιπὸν μὴ πατάξαι τὴν γυναῖκα, ἀλλ' ἐπι-μελεῖσθαι τε ὑπὲρ αὐτῆς, καὶ κοινωνεῖν αὐτῇ ἡδονῆς καὶ λύπης, καθάπερ*

καὶ οἱ νόμοι κελεύουσι. ταῦτα οὖν ποιήσειν ὑπο-σχόμενος ὁ ἄνθρωπος, καὶ τὴν ζημίαν ἀπο-τίσας, πάλιν εἰς τὴν ἑαυτοῦ οἰκίαν ἀπ-ῆλθε.

89. μετὰ δὲ ταῦτα ὁ ἄνθρωπος πατάξαι μὲν τὴν γυναῖκα οὐκέτι ἐ-τόλμα. λαβὼν δὲ ἀπὸ τῆς τραπέζης μαχαίρας καὶ κύλικας, ταύτας ἐπ' ἐκείνην συνεχῶς ἔ-βαλε. ἔτι δὲ ἐ-σπάραξεν αὐτῆς τὴν κόμην καὶ τὴν ἐσθῆτα, ὥστε φοβηθεῖσα διὰ ταῦτα πάλιν ὡς τοὺς ἐφόρους ἀπ-έ-δραμεν.

ἐλθὼν οὖν αὖθις ἐς κρίσιν ὁ ἄνθρωπος, "ὦ ἔφοροι," ἔ-φη, "θαυμάζω, εἰ τάδε ὑμῖν οὐκ ἀρέσκει· ἐπεί, ὅσα ἄρτι ὑμεῖς ἐ-κελεύσατε, ἤδη ποιῶ. οὐκέτι γὰρ τὴν γυναῖκα ῥαπίζω, ἀλλὰ μαχαίρας καὶ κύλικας ἐπ' αὐτὴν βάλλω. ἔτι δὲ καὶ ἐπι-μελοῦμαι ὑπὲρ αὐτῆς. ἰδὼν γὰρ αὐτῆς τὴν κόμην καὶ τὴν ἐσθῆτα οὐκ εὖ κοσμηθείσας, ταύτας δι-έ-σπασα.

90. ἀλλ' οὐ μόνον ταῦτα ποιῶν πειθαρχῶ ὑμῖν, ἀλλὰ καὶ ἡδονῆς αὐτῇ καὶ λύπης κοινωνῶ. ὅταν γάρ, βάλλων τὰς μαχαίρας, τυγχάνω αὐτῆς, ἡ μὲν λυπεῖται, ἐγὼ δὲ ἥδομαι. ὅταν δὲ αὖ ἀπο-τυγχάνω, ἥδεται μὲν ἐκείνη, ἐγὼ δὲ λυποῦμαι. ὥστε, ταῦτα ποιοῦντες, θαυμασίως ὡς ἡδονῆς τε καὶ λύπης κοινωνοί ἐσμεν. ἀξιῶ οὖν ἐπὶ τούτοις ὑφ' ὑμῶν μὴ κολάζεσθαι, ἐπ-αινεῖσθαι δὲ μᾶλλον, ὡς δίκαιος ἀνὴρ ὤν, καὶ τοὺς νόμους δια-φυλάσσων." ἀκούσαντες δὲ ταῦτα οἱ ἔφοροι οὐκ ἐ-πείσθησαν· ἀλλὰ καθ-εῖρξαν τὸν ἄνθρωπον ἐν τῷ δεσμωτηρίῳ, ἵνα, κακὰ καὶ αὐτὸς πάσχων, τὸ λοιπὸν τὴν γυναῖκα μὴ ἀδικοῖ. οὕτως οὖν ἐκεῖνος ἐ-κολάσθη.

SOLON AND THALES.

91. Σόλων ποτε καὶ Θαλῆς δι-ε-λέγοντο περὶ εὐδαιμονίας. ἔ-φη οὖν ὁ Θαλῆς βέλτιον εἶναι μὴ γαμεῖν, μηδὲ

παῖδας τίκτειν. βουλόμενος δὲ καὶ Σόλωνα τοῦτο πείθειν, τοιάδε ἐ-μηχανήσατο. ἄνθρωπόν τινα παρ-ε-σκεύασε, φάσκοντα "ξένον ἑαυτὸν ὄντα ἐξ Ἀθηνῶν ἀρτίως ἥκειν." πυνθανομένου δὲ τοῦ Σόλωνος περὶ τῶν ἐκεῖ, ὁ ἄνθρωπος (δε-διδαγμένος ἃ χρὴ λέγειν), "οὐδέν," ἔ-φη, "καινὸν, πλὴν ὅτι ἐκφορὰ ἦν νεανίσκου τινός. ἦν δὲ, ὡς ἔφασαν, υἱὸς ἐνδόξου τινὸς πολίτου· ὁ δὲ πατὴρ αὐτοῦ οὐ παρ-ῆν, ἀλλὰ πάλαι ἀπ-ε-δήμει." "ὦ δυστυχὴς ἐκεῖνος!" ἔφη ὁ Σόλων, "τίνα δὲ ὠνόμαζον αὐτόν;" ὁ δὲ ἄνθρωπος, "ἤκουσα," ἔ-φη, "τὸ ὄνομα, ἀλλ' οὐ μνημονεύω."

92. τοσαῦτα δὲ ἐκείνου εἰρηκότος, φόβος τις αἰφνιδίως τὸν Σόλωνα ἔ-σχε, μὴ ὁ παῖς ἑαυτοῦ εἴη. βραχύ τι οὖν σιωπήσας, ἐπ-ηρώτα τὸν ἄνθρωπον, εἰ ὁ πατὴρ ὠνομάζετο Σόλων. καὶ ἐκεῖνος ἀντ-εῖπεν εὐθύς. "νὴ τὸν Δία, ὦ ξένε, δοκεῖς μοι μάντις τις εἶναι ὡς ἀληθῶς! αὐτὸ γὰρ τόδε, ὅπερ εἴρηκας, τὸ ὄνομα ἦν· ἐγὼ δέ γε αὐτοῦ ἐπ-ε-λαθόμην." ὁ μὲν οὖν Σόλων πρὸς ταῦτα ἐ-δάκρυσέ τε, καὶ τὴν κεφαλὴν ἑαυτοῦ ἔ-παισε. γελάσας δὲ αὐτίκα ὁ Θαλῆς, "θάρρει," ἔ-φη, "ὦ φίλτατε· οὐ γὰρ ἀληθεῖς εἰσιν οἱ λόγοι οὗτοι. ἀλλὰ νῦν, οἶμαι, καὶ σὺ ὁμολογήσεις λυσιτελεῖν μὴ παιδοποιεῖσθαι. δῆλοι γάρ εἰσιν οἱ ἄπαιδες πολλῶν κακῶν ἄπειροι ὄντες."

DIVISION OF LABOUR.

93. δοκοῦσιν οἱ Μιλήσιοι ἀσύνετοι μὲν οὐκ εἶναι, ὡς δὲ ταχεῖς φύσει ὑπάρχοντες λέγειν πολλάκις ἀπερισκέπτως, καὶ γέλωτα διὰ τοῦτο τοῖς ἀκούουσι παρ-έχειν.

ἐ-πορεύοντο δέ ποτε εἰς Ἔφεσον Μιλήσιοι δύο. ἔ-δει γὰρ αὐτοὺς θυσίαν ποιεῖν τῇ Ἀρτέμιδι, ἧς ναὸς ἐκεῖ ἦν. ὑπὸ δὲ τοῦ μήκους τῆς ὁδοῦ ὅσον οὐκ ἀπ-ειρηκότες, συν-ε-βουλεύοντο τί χρὴ ποιεῖν. ὁ μὲν οὖν ἕτερος τῶν Μιλησίων

ἔ-φη δεῖν προχωρεῖν, ἕως ἐπι-τύχοιέν τινι παρ-ιόντι, παρ' ὅτου πεύσονται, εἰ ὁ ναὸς πόρρω ἄπ-εστιν. "ἕνα μὲν γὰρ παρασάγγην," ἔ-φη, "ἢ καὶ δύο, οὐκ ἀχθέσομαι ἔτι πορευόμενος. εἰ δὲ πορρωτέρω δεῖ προ-βαίνειν, ζητήσαντες ἐν τῷ μεταξὺ πανδοκεῖον ἀνα-παυσώμεθα!"

94. τοσαῦτα οὖν ἐκεῖνος ἔ-λεξεν, ὡμολόγησε δὲ ἄρα ὁ ἕτερος, καὶ ἔ-δοξε ταῦτα ποιεῖν. προ-βάντες δὲ ἐπὶ μικρὸν τῆς ὁδοῦ, εἶδον ἄνθρωπόν τινα αὐτοῖς προσ-ιόντα. γενόμενοι οὖν πλησίον οἱ Μιλήσιοι τοῦτον ἠρώτησαν, πόσον ἐντεῦθεν ὁ ναὸς ἄπ-εστι; ὁ δὲ πρῶτον μέν τι ἐ-σιώπα, ὡς τὸ μῆκος ἀριθμούμενος· τέλος δὲ ἔ-φη δοκεῖν ἑαυτῷ τὸν ναὸν τέσσαρας μάλιστα παρασάγγας ἀπ-έχειν. ταῦτα δὲ παρὰ τοῦ ἀνθρώπου ἀκούσας, ὁ μὲν τῶν Μιλησίων ἠθύμει, ὁ δὲ ἕτερος, "θάρρει," ἔ-φη, "ὦ φίλτατε! ἐπεὶ τὴν ὁδὸν ὅσον οὐ τε-τελέκαμεν. τῶν γὰρ παρασαγγῶν σὺ μὲν δύο ἄνυσον, ἐγὼ δὲ τοὺς ἐπιλοίπους δύο! καὶ ῥᾳδίως οὕτως ἐς τὸν ναὸν ἀφ-ιξόμεθα."

NERVOUSNESS.

95. Ἀλκιβιάδης, νεανίσκος ὤν, σφόδρα ἐ-δε-δοίκει παρ-ιέναι εἰς τὸν δῆμον καὶ ἀγορεύειν. ὁ δὲ Σωκράτης ἐπ-ε-θάρσυνεν αὐτὸν, λέγων τοιάδε. "ὦ φίλε, τί ἀθυμεῖς; οὐ γὰρ δὴ δέ-δοικας ἐκεῖνον τὸν σκυτοτόμον,"—εἰπὼν τὸ ὄνομα τοῦ ἀνθρώπου,—"ἀλλὰ κατα-φρονεῖς αὐτοῦ, εἰκότως, δῆλον γὰρ ὅτι σοι τὸ γένος πολὺ λαμπρότερόν ἐστιν ἢ ἐκείνῳ. ἔτι δὲ ἐκεῖνον τὸν κήρυκα οὐ δέ-δοικας, οὐδὲ ἐκεῖνον αὖ τὸν κεραμέα." ὁ δὲ Ἀλκιβιάδης πρὸς ταῦτα ἔ-φη, ὅτι ἐκείνους μὲν οὐ δέ-δοικεν, ἀλλὰ τὸν δῆμον. ὑπο-λαβὼν δὲ ὁ Σωκράτης, "οὐκοῦν," ἔ-φη, "ὁ δῆμος ἐκ τούτων ἤθροισται καὶ εἰ κατα-φρονεῖς τῶν καθ' ἕκαστον, κατα-φρονητέον καὶ τῶν συμπάντων."

THE GOD IN DISGUISE.

96. περὶ μὲν οὖν τῶν θεῶν οἱ παλαιοὶ ῥαψῳδοὶ πολλοὺς καὶ ἡδεῖς λόγους δι-ηγοῦντο. ἔ-φασκον γάρ, ὡς ἐκεῖνοι ἐπὶ γῆς φαίνονται πολλάκις, οὐ μέντοι θεῶν ἔχοντες εἴδη, ἀλλ' ἐς τὰς τῶν ἀνθρώπων μορφὰς ἑαυτοὺς μετ-αλλάξαντες.

τούτων δὲ τῶν μύθων εἷς τίς ἐστι περὶ τοῦ Ἑρμοῦ, ὡς, πορείαν ποτὲ ποιούμενος ἐν τῇ βαρβάρῳ, διὰ τὸ μῆκος τῆς ὁδοῦ ἔ-καμνεν. ἐ-βούλετο οὖν ἀνα-παύεσθαι παρὰ πλουσίῳ τινὶ ἀνθρώπῳ, οὗπερ ἡ οἰκία ἔ-τυχε τῆς ὁδοῦ ἐγγὺς οὖσα. ὁ δέ, ὡς γλίσχρος ὢν καὶ ἀγνώμων, τὸν ξένον ἀπ-ε-ώθει· οὐ γὰρ ἔ-γνω αὐτὸν θεὸν ὄντα. ἀγανακτήσας οὖν ὁ Ἑρμῆς ἀπ-ῄει.

97. προ-βὰς δὲ ἐντεῦθεν ὀλίγον, ὁ θεὸς εἶδε καλύβην πένητός τινος οὐ πόῤῥω ἀπ-οῦσαν. ταύτῃ οὖν προς-ελθών, τὴν θύραν ἔ-κοψε, καὶ ἠρώτησε τὸν δεσπότην, εἰ ἔξ-εστιν ἐκεῖ ἀνα-παύεσθαι; "προς-ελθὼν γάρ," ἔ-φη, "πρὸς ἐκείνην τὴν οἰκίαν, τὴν καλὴν καὶ μεγάλην, καὶ δεηθεὶς ταῦτα παρὰ τῶν ἐκεῖ, ξενίσεως οὐκ ἔ-τυχον. ὥστε ἐκεῖθεν ἀπ-ε-ωσμένος ἐνθάδε ἀφ-ικνοῦμαι. οἶδα γὰρ πένητας πολλοὺς ἐλευθεριωτέρους ὄντας τῶν πάνυ πλουσίων. ἐλπίζω δὲ καί σε ταχέως τοιοῦτον φανήσεσθαι." ἀκούσας δὲ τοσαῦτα ὁ πένης φιλοφρόνως τὸν ξένον ἐ-δέξατο, δεῖπνόν τε αὐτῷ καὶ κλίνην (οἷα ἐδύνατο) παρ-έχων. καὶ εἰς-ελθὼν ἐκεῖνος εἰς τὴν καλύβην, τὴν νύκτα ἐκεῖ δι-ῆγε.

98. ἐπειδὴ δὲ ἡμέρα ἐ-γένετο, ἔ-μελλεν ὁ Ἑρμῆς ἀπ-ιέναι. καλέσας δὲ τὸν δεσπότην, ἔ-φη αὐτὸς θεὸς εἶναι. καὶ βουλόμενος ἐκείνῳ ἀμοιβήν τινα τίνειν, "δῶρα," ἔ-φη, "τρία σοι δωσω, ἃ ἂν αὐτὸς κελεύῃς. εἰπὲ δέ μοι, τίνων μάλιστα ἐπι-θυμεῖς;" ὁ δὲ πένης ἀντ-εῖπε πρὸς ταῦτα,

"ὦ μέγιστε θεῶν! τὰ μὲν δύο τῶν δώρων, ὧν κτήσασθαι βούλομαι, αὐτίκα σοι εἰπεῖν ἔχω· περὶ δὲ τοῦ τρίτου ἀπορῶ. τὸ μὲν οὖν πρῶτον, βούλομαι, ὅταν τελευτῶ, ἐλθὼν εἰς τὸ Ἠλύσιον, μακάριος εἶναι. τὸ δὲ δεύτερον, εὖ πάσχειν καὶ ἐν τῷ παρ-όντι βίῳ. τὸ δὲ τρίτον, οὐκ οἶδα τί χρὴ ἐπ-αιτεῖν."

99. ἀκούσας δὲ ὁ θεὸς, "βούλει οὖν," ἔ-φη, "δῶ σοι νέαν τινὰ οἰκίαν καὶ καλὴν, ἀντὶ τῆςδε τῆς καλύβης;" καὶ ἐκεῖνος ἔ-φη βούλεσθαι. ὁ δὲ θεὸς "ἔσται ἄρα ταῦτα" ἔ-φη· καὶ ἅμα ἔ-δειξεν αὐτῷ οἰκίαν λαμπροτάτην, ἐκεῖ ἑστῶσαν, ἵνα πρὸ τοῦ ἦν ἡ καλύβη. ὁ μὲν οὖν Ἑρμῆς, τοσαῦτα εἰρηκὼς, ἀπ-ῄει. ὁ δὲ πένης, εἰς-ελθὼν εἰς τὴν οἰκίαν, τὸν λοιπὸν βίον μακαρίως δι-ῆγε.

πυθόμενος δὲ ἐκεῖνα, ὁ πλούσιος ἠθύμησεν. ἐ-κέλευσεν οὖν τὴν ἑαυτοῦ γυναῖκα θεῖν, καὶ (ἢν δύνηται) τὸν ξένον πείσασαν ἀπ-άγειν· ἔ-φη γὰρ βούλεσθαι καὶ αὐτὸς ἐκεῖνον ἑστιᾶν. ὁ δὲ Ἑρμῆς, ἀκούσας ἃ ἡ γυνὴ λέγει, πρῶτον μὲν οὐκ ἐ-πείθετο, τέλος δὲ ἔ-φη εἰς-ιέναι. δειπνήσας ἄρα μετὰ τῶν πλουσίων, τρία δῶρα καὶ τούτοις ὑπ-έ-σχετο.

100. τότε δὲ στᾶσα ἡ γυνὴ καὶ βοῶσα ᾔτησε παρὰ τοῦ θεοῦ ἀλλᾶντα. "ὁ γὰρ ἐμὸς ἀνὴρ," ἔ-φη, "τὰ τοιαῦτα στέργει." ταύτῃ οὖν ἀλλᾶντα δοὺς ὁ θεὸς, "ἓν μὲν," ἔ-φη, "τῶν δώρων ἔχεις!" τότε δὲ ὀργισθεὶς ὁ ἄνθρωπος, "ὦ γύναι," ἔ-φη, "βούλομαι τὸν ἀλλᾶντα τῇ σῇ ῥινὶ ἐμ-φύεσθαι." ὁ δὲ θεὸς εὐθὺς, "ἔστω ταῦτα!" ἔ-φη, "καὶ τῶν δώρων τὸ δεύτερον ἔχεις τόδε!" ἀλλ' οὐδὲ ταῦτα ἐκείνῳ ἤρεσκεν· ἐ-φοβεῖτο γὰρ, μὴ καταγέλαστος ᾖ, τοιαύτην τὴν γυναῖκα ἔχων. ἠναγκάσθη οὖν τὸ τρίτον δεῖσθαι τοῦ θεοῦ, ὥστε ἀφανίσαι αὖθις τὸν ἀλλᾶντα. τοῦτο δὲ ποιήσας ὁ Ἑρμῆς καὶ αὐτὸς ἠφάνιστο.

COCK-FIGHTING AT ATHENS.

101. νικήσασι τοὺς Πέρσας τοῖς Ἀθηναίοις νόμος ἐ-γένετο ὅδε. μιᾷ ἡμέρᾳ τοῦ ἐνιαυτοῦ ἀλεκτρυόνες ἐν τῷ θεάτρῳ δημοσίᾳ ἠγωνίζοντο. τὴν δὲ αἰτίαν τούτων νῦν δι-ηγήσομαι. ὅτε γὰρ ὁ Θεμιστοκλῆς τοὺς πολίτας ἐξ-ῆγεν ἐπὶ τοὺς βαρβάρους, εἶδε κατὰ τύχην ἀλεκτρυόνας τινὰς μαχομένους. ἐπι-στήσας οὖν τὴν στρατιὰν, ἔ-λεξε τοιάδε. "τούτους μὲν οὖν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, ἰσχυρῶς πρὸς ἀλλήλους ἀγωνιζομένους. κακοπαθοῦσι δὲ οὔτε, ὥσπερ ὑμεῖς, ὑπὲρ πατρίδος, οὔτε ὑπὲρ πατρῴων θεῶν· οὐδὲ μὴν ὑπὲρ δόξης, οὐδὲ ὑπὲρ παίδων, ἀλλὰ τόδε μόνον βουλόμενοι—τοῦ ἑτέρου μὴ ἡσσᾶσθαι!" ταῦτα δὲ εἰπὼν θαυμασίως ὡς ἐπ-έ-ρ-ρωσε τοὺς Ἀθηναίους. μνημεῖον οὖν ἐκείνων ὁ νόμος κατ-έ-στη.

A FAIR RETORT.

102. ὁ Διογένης ἤλγει ποτε τὸν ὦμον, ἢ τραυματισθεὶς, ἢ δι' ἄλλην τινὰ αἰτίαν. ἐπεὶ δὲ ἐ-δόκει σφόδρα λυπεῖσθαι, ἄνθρωπός τις ἔ-σκωπτεν αὐτὸν, ἐχθρὸς ὤν. καὶ ἄλλα πολλὰ λοιδορησάμενος τῷ φιλοσόφῳ, τέλος εἶπε καὶ τόδε. "τί οὖν οὐκ ἀπο-θνήσκεις, ὦ Διόγενες, καὶ σεαυτὸν ἀπ-αλλάσσεις τῆς λύπης;" ἀντ-εῖπε δὲ οὖν ἐκεῖνος, "ὦ ἄνθρωπε, εἴ τις οἶδεν ἃ δεῖ πράσσειν ἐν τῷ βίῳ, καὶ ἃ δεῖ λέγειν, τούτῳ ζῆν προς-ήκει. σοὶ μὲν οὖν καλῶς ἔχει ὅτι τάχιστα ἀπο-θανεῖν, δῆλος γὰρ εἶ οὐκ εἰδὼς τὰ τοιαῦτα, ἐπεὶ ἀπρεπέστατά γε νῦν καὶ λέγεις καὶ πράσσεις. ἐμοὶ δὲ, ὡς ἐκεῖνα εἰδότι, πρέπει ζῆν."

EGYPTIAN JUDGES.

103. φασὶν οἱ Αἰγύπτιοι, ὡς οἱ παρ' ἑαυτοῖς νόμοι βέλτιστοι πάντων εἰσὶν, ἐπεὶ ἐξ-ηῦρεν αὐτοὺς θνητῶν οὐδεὶς, ἀλλ' ὁ θεὸς Ἑρμῆς. δικασταὶ δὲ παρὰ τοῖς Αἰγυπ-

τίοις οἱ ἱερεῖς πάλαι ποτὲ ἦσαν. ἦν δὲ τούτων ἄρχων ὁ πρεσβύτατος, καὶ ἅπαντας ἐ-δίκαζε. Ἐ-σπούδαζον δὲ μάλιστα περὶ τούτου, ὅπως πάντων ἀνθρώπων ἔσται δικαιότατος. ἔ-δει δὲ αὐτὸν ἔχειν ἀεὶ περὶ τὸν αὐχένα ἄγαλμά τι πε-ποιημένον ἐκ σαπφείρου λίθου, καὶ ἐ-καλεῖτο τὸ ἄγαλμα, "ἀλήθεια." ἦν δὲ σημεῖον αὐτῷ τοῦτο, ὅτι πρέπει τῷ δικαστῇ περι-φέρειν ἀεὶ μεθ' ἑαυτοῦ τὴν ἀλήθειαν, μὴ μόνον ἐν τῷ αὐχένι εἰκασμένην, ἀλλ' ἐν αὐτῇ τῇ ψυχῇ ὄντως ὑπ-άρχουσαν.

THE HARE.

104. *Διότιμος ὁ Μεγαρεὺς, προτιμήσας πρὸ πάντων τὸν κατ' ἀγροὺς βίον, γήδιόν τι ἐ-πρίατο, δι-ε-τέλει δὲ τρέφων ἐπ' αὐτοῦ ἵππους καὶ κύνας, καὶ θηρεύων ἐν τοῖς ὄρεσι, καὶ ὀρνιθεύων, καὶ τὰ τοιαῦτα πάντα πράσσων. ἦν δὲ αὐτῷ ἐν τῇ πόλει συγγενής τις ἄνθρωπος καὶ φίλος, ὀνόματι Καλλικλῆς. τούτῳ οὖν τῷ Καλλικλεῖ ἐ-βούλετο ὁ Διότιμός τι χαρίζεσθαι. καὶ λαβὼν ποτε πάγῃ λαγὼν τινα διαφερόντως καλὸν, ἐ-κέλευσέ τινα τῶν οἰκετῶν τοῦτον εἰς τὴν πόλιν κομίζειν ἐν κίστῃ, ἵνα δῶρον ἐκείνῳ εἴη. δίψῃ δὲ συν-εχόμενος ἐν τῇ ὁδῷ ὁ οἰκέτης, καὶ ἐπὶ πανδοκείῳ τινὶ ἐπι-τυχὼν, κατ-έ-θετο τὴν κίστην, καὶ ἀν-ε-παύετο.*

105. *ἔ-τυχον δὲ πίνοντες τότε ἐν τῷ πανδοκείῳ ἀστεῖοί τινες ἄνθρωποι. καὶ αἰσθόμενοι τὸν οἰκέτην ἄγροικόν τινα ὄντα καὶ εὐήθη, δι-ε-νοοῦντο παίζειν τι πρὸς αὐτόν. προς-ελθόντες οὖν τινὲς τούτων πρὸς τὸν ἄνθρωπον, ἔ-πινόν τε μετ' αὐτοῦ, καὶ ἐς λόγους αὐτῷ ἀφ-ίκοντο. ἄλλοι δέ τινες ἐν τῷ μεταξὺ, τὴν κίστην λάθρᾳ ἀν-οίξαντες, τὸν μὲν λαγὼν ἐξ-αιροῦσιν, αἴλουρον δέ τινα ἐν-θέντες εἰς*

αὐτὴν, τὰ σήμαντρα αὖθις προς-άπτουσιν. ὁ δὲ οἰκέτης οὐκ αἰσθόμενος οἷα ἐκεῖνοι ποιοῦσιν, ἔ-πινε τε ἡσυχῇ, καὶ τοῖς ξένοις δι-ε-λέγετο. ἐπειδὴ δὲ ἔ-δοξεν ἑαυτῷ ἅλις τούτων ἔχειν, ἀν-έ-λαβεν αὖθις τὴν κίστην, καὶ, ἀπ-ελθὼν ἐκεῖθεν, ἀφ-ίκετο εἰς τὴν πόλιν.

106. προς-ελθὼν οὖν ὁ οἰκέτης πρὸς τὴν τοῦ Καλλικλέους οἰκίαν ἔ-λεξε τοιάδε. "ὦ κύριε, ἥκω σοι δῶρον φέρων παρὰ τοῦ ἐμοῦ δεσπότου Διοτίμου· τὸ δὲ δῶρόν ἐστι λαγώς." τοσαῦτα δὲ εἰρηκὼς ἀν-έ-ῳξε τὴν κίστην, ἡ δὲ αἴλουρος ἐξ αὐτῆς ἐξ-ε-πήδησεν. ἰδὼν δὲ τὴν αἴλουρον ὁ μὲν οἰκέτης ἐς ἀπορίαν πολλὴν ἔ-πεσε, γελάσας δὲ ὁ Καλλικλῆς, "ὦ ἄνθρωπε," ἔ-φη, "δοκεῖς μοι ἢ μωρός τις εἶναι, ἢ πανοῦργος. οὔτε γὰρ ἐκεῖνο τὸ ζῷον λαγώς ἐστιν, οὔτε ἔ-πεμψέ σε ὁ Διότιμος φέροντά μοι τὸ τοιοῦτον δῶρον, οὐ γὰρ ὧδε μαίνεται." ἐ-κέλευσεν οὖν τὸν ἄνθρωπον, ἀνα-λαβόντα τὴν αἴλουρον, ἀπ-ιέναι εὐθὺς ἐκ τῆς οἰκίας.

107. δι-ε-νοεῖτο οὖν ὁ οἰκέτης οἴκαδε πάλιν ἀπ-ιέναι. ἀνα-παυσάμενος δὲ αὖθις ἐν τῷ πανδοκείῳ, ἐκείνοις τοῖς ἀστείοις αὖθις ἐπ-έ-τυχε, καὶ τὸ πρᾶγμα δι-ηγήσατο. οἱ δὲ ἀκούσαντες ἔ-φασκον, ὡς "φιλεῖ τὰ τοιαῦτα γίγνεσθαι ἐν τῇ πόλει· ὁ γὰρ ἐκεῖ ἀὴρ δύναμίν τινα ἔχει τοιάνδε, ὥστε λαγὼς ἀεὶ εἰς αἰλούρους μετα-πλάσσειν." διαλεγόμενοι δὲ περὶ τούτων, λάθρᾳ αὖθις τὴν κίστην ἀποφέρουσι, καὶ, ἐξ-ελόντες τὴν αἴλουρον, τὸν λαγὼν πάλιν ἐν-τιθέασιν. ὁ δὲ οἰκέτης οὐδὲ τούτων οὐδὲν ἐ-νόησεν. ἀπ-ῆλθεν οὖν ἐκ τοῦ πανδοκείου, λαγὼν μὲν ἐν τῇ κίστῃ φέρων, οἰόμενος δὲ αὐτὸν αἴλουρον εἶναι. καὶ ἀσπασάμενος τοὺς ξένους οἴκαδε ἀπ-ῄει.

108. ἀφ-ικόμενος δὲ ἐκεῖσε, "ὦ δέσποτα," ἔ-φη, "θαυμάσια ἐγὼ πέ-πονθα ἐν τῇ πόλει. ὁ γὰρ λαγὼς ὅδε, ὅνπερ ἔ-πεμψας, οὐκέτι λαγώς ἐστιν, ἀλλ' αἴλουρος." καὶ τὴν κίστην ἀν-οίξας, "ὦ Ζεῦ," ἔ-φη, "τί ὁρῶ; μεταπέ-πλασται γὰρ αὖθις, ὡς ἔοικεν, εἰς λαγών." θαυμάσας οὖν ὁ δέσπότης, "ὦ οὗτος," ἔ-φη, "οὐ παύσει φλυαρῶν; δοκεῖς δέ μοι πάντων ἀνθρώπων εἶναι ἀφρονέστατος. νῦν οὖν ἄπ-ιθι πάλιν ὡς τάχιστα εἰς τὴν πόλιν, καὶ τὸν λαγὼν τόνδε πρός-φερε τῷ Καλλικλεῖ, ὥσπερ σε καὶ τότε ἐ-κέλευσα." ὁ δὲ, "ὦ δέσποτα," ἔ-φη, "μηδαμῶς ταῦτα κελεύσῃς. δέ-δοικα γὰρ μὴ γένωμαι καὶ αὐτὸς αἴλουρος, ἐὰν ἐκεῖσε πάλιν ἐπ-αν-ίω."

THE RIVAL POETS.

109. τε-θνηκότες ποτε ποιηταὶ δύο ἐν Ἅιδου ε-στασίαζον· ἔ-φη γὰρ ἑκάτερος, ὡς κράτιστος πάντων ποιητῶν αὐτός ἐστι. τούτου οὖν τοῦ πράγματος τὴν κρίσιν κοινῇ ἐπ-έ-τρεπον τῷ Διονύσῳ, ἐπεὶ ἐ-δόκει ἐκεῖνος τῆς μουσικῆς ἔμπειρος εἶναι. ὁ μὲν οὖν ἕτερος τῶν ποιητῶν ἔ-φη, δεῖν ἑκάτερον προ-φέρειν τὰ ἑαυτοῦ ποιήματα, ἵνα ἀνα-γνοὺς αὐτὰ ὁ Διόνυσος ἔχοι εἰπεῖν, ὁπότερος κρείσσων εἴη. ὁ δὲ ἕτερος ἀντ-εῖπεν, "ὦ μιαρὲ σὺ! οὐκ ἐξ ἴσου ἀγωνιούμεθα, ἢν ἐκεῖνά γε ποιῶμεν. τὰ γὰρ σὰ ποιήματά σοι συν-τέ-θνηκεν, ὥστε ἕξεις αὐτὰ προ-φέρειν. τὰ δὲ ἐμὰ οὐκ ἐνθάδε ἐστὶν, ἀλλ' ἄνω ἐπὶ τῆς γῆς· ἔστι γὰρ ἀθάνατα."

HOW CRASSUS MADE HIS MONEY.

110. περὶ τοῦ Κράσσου λέγουσί τινες, ὅτι ἄλλως ὢν ἀνὴρ ἀγαθὸς τῇ φιλοκερδείᾳ μόνῃ λίαν προς-έ-κειτο. τὸν δὲ πλοῦτον συν-ήγαγε μάλιστα ἐξ ἀλλοτρίων συμφορῶν, καὶ (ὡς εἰπεῖν) ἐκ πολέμου καὶ πυρός. ὅτε γὰρ ὁ

Σύλλας, ἑλὼν τὴν πόλιν, ἐ-πώλει τὰς οὐσίας τῶν ἀν-αιρεθέντων ὑπ' αὐτοῦ, οἱ μὲν πολλοὶ τῶν πολιτῶν αἰδού-μενοι τούτων ἀπ-έ-σχοντο, ὁ δὲ Κράσσος μικρόν τι δοὺς πολλὰ ἐ-πρίατο. ἔπειτα δὲ, δούλους πολλοὺς ἔχων ἐμπείρους τῆς τεκτονικῆς, ὁπότε ἴδοι ἐν τῇ πόλει οἰκίας κατα-καυθείσας, χρηματισάμενος τοῖς δεσπόταις, ἐ-πρίατο ταύτας μικροῦ, καὶ ἀν-ῳκοδόμει. καὶ διὰ ταῦτα οὖν τὸ πλεῖστον μέρος τῆς Ῥώμης ὑπ' αὐτῷ τέλος ἐ-γένετο.

THE CARICATURE.

111. ῥήτωρ τις, ὑπέραισχρος ὤν, ὑπὸ τῶν ἀκουόντων πολλάκις κατ-ε-γελᾶτο. ταῦτα οὖν ἐκεῖνος βαρέως φέρων ἐ-βούλετο τιμωρίαν τινὰ λαβεῖν. δημηγορῶν δέ ποτε κατὰ τύχην ἐν τῇ ἀγορᾷ, εἶδεν ἐκεῖ ἄνθρωπον σκώπτοντα εἰς αὐτὸν καὶ τὰ σχήματα μιμούμενον, ὥστε ἰδόντες ταῦτα οἱ περι-εστῶτες πάνυ σφόδρα ἐ-γέλων. ὁ μὲν οὖν ῥήτωρ ὀργισθεὶς, εἰς-ήγγειλε τὸν ἄνθρωπον πρὸς τοὺς ἄρχοντας. δείσας δὲ ἐκεῖνος, μὴ τὴν δίκην ὄφλῃ, συν-ε-βουλεύετο μετὰ τῶν φίλων, τί χρὴ ποιεῖν. καὶ ἄλλο μὲν οὐδὲν ἐ-μηχανήσατο, πριάμενος δὲ πίνακα, ἔ-γραψεν ἐν αὐτῷ ἐκεῖνον τὸν αἰσχρόν· χρώμενος πάσῃ τέχνῃ, ὅπως ὡς οἷόν τε μάλιστα γελοία ἡ γραφὴ εἴη.

112. μετὰ δὲ ταῦτα εἰς κρίσιν ἦλθεν, ὑπὸ μάλης τὸν πίνακα ἔχων. ὁ μὲν οὖν διώκων δι-ηγήσατο τὴν κατη-γορίαν, λέγων ὡς ἀπρεπῆ πέ-πονθε, καὶ ταῦτα ἐκεῖνον οὐδὲν ἀδικήσας. ἀκούσαντες δὲ οἱ ἄρχοντες ἠρώτησαν, τί πρὸς ταῦτα ὁ φεύγων ἀντι-λέγει; καὶ ἐκεῖνος μὲν ἐπὶ τούτοις βραχύ τι ἐ-σιώπησεν, ἔπειτα δὲ δείξας τοῖς δικασ-ταῖς τὴν γραφὴν, "ὦ ἄνδρες Ἀθηναῖοι," ἔ-φη, "πῶς οὐ χρὴ σκώπτειν τὸν τοιόνδε ἄνθρωπον; ἀληθῶς γὰρ οὐκ

εὐσχήμων ἐστίν.” ἰδόντες δὲ τὸν πίνακα οἱ δικασταὶ ἐς γέλωτα τοσοῦτον ἔ-πεσον, ὥστε ὁ μὲν κατήγορος αἰσχυνθεὶς ἀπ-ῆλθεν αὐτίκα ἐκ τοῦ δικαστηρίου, ἐκεῖνος δὲ διὰ ταῦτα ἀπ-ε-λύθη.

THE INFATUATED PHYSICIAN.

113. *Μενεκράτης ὁ ἰατρὸς ἐς τοσοῦτον ἦλθεν ὑπερηφανίας, ὥστε τέλος ᾤετο θεὸς εἶναι, ὠνόμαζε δὲ ἑαυτὸν “Δία.” πυθόμενος δὲ ταῦτα Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεὺς ἐ-βουλεύετο ἐπι-σκώπτειν τι τὸν ἄνθρωπον, ἵνα τῆς μανίας αὐτὸν κατα-παύσαι. μέλλων οὖν ἑστιᾶν τινας τῶν συνηθῶν, ἐ-κάλεσε καὶ τὸν Μενεκράτη ἐπὶ δεῖπνον. τούτῳ οὖν, ὡς θεῷ δὴ ὄντι, κλίνην τινὰ ἰδίᾳ παρ-ε-σκεύασε. κατα-κλιθέντι δὲ αὐτῷ παρ-έ-θηκε θυμιατήριον, καὶ ἔ-καυσε θυμιάματα παντοῖα. ἄλλο δὲ βρῶμα οὐδὲν προς-έ-φερε, λέγων, ὡς σῖτον αἱρεῖσθαι οἱ θεοὶ οὐκ εἰώθασι. οἱ δὲ ἄλλοι ἐν τῷ μεταξὺ ἡδέως μάλα εἱστιῶντο· μεγαλοπρεπὲς γὰρ ἦν τὸ δεῖπνον.*

114. *τέως μὲν οὖν πρὸς ταῦτα ὁ Μενεκράτης ἐ-καρτέρει, ἐ-χάρη γὰρ τῆς τοιαύτης τιμῆς λαχὼν παρὰ τοῦ βασιλέως. ἔπειτα δὲ, ὁρῶν τοὺς ἄλλους ἑστιωμένους, ἐπ-ε-θύμησε καὶ αὐτὸς τῶν σιτίων καὶ τοῦ οἴνου, ὧν ἐκεῖνοι μετ-έ-σχον. ἰσχυρὸς τοίνυν αὐτῷ ὁ λιμὸς κατὰ μικρὸν ἐ-γένετο· τὰ δὲ θυμιάματα οὐκέτι ἤρκει, ἀλλ᾽ ἠλέγχθη τέλος οὐ μόνον ἄνθρωπος ὤν, ἀλλὰ καὶ εὐήθης. βουλόμενος γὰρ τῶν σιτίων μετ-έχειν, τοῦ δὲ βασιλέως φάσκοντος ἔτι ὡς οὐ πρέπει τὰ τοιαῦτα τοῖς θεοῖς παρα-τιθέναι, ὠργίσθη τε ἐπὶ τούτοις, καὶ ἀνα-στὰς ἀπ-ῆλθε, λέγων ὑβρισθαι τε καὶ δεινὰ πε-πονθέναι, ὥστε οἱ παρ-όντες πάντες ᾔσθησαν.*

THE LAW-COURTS.

115. Σπαρτιάτης ἐς Ἀθήνας ἀφ-ικόμενος εἰς-ῆλθεν εἰς τὰ δικαστήρια, ἵνα ἀκούοι τῶν ῥητόρων λεγόντων. ἔ-φευγε δὲ τότε τις γραφὴν ὕβρεως, καὶ οἱ δικασταὶ ἤδη ἠθροίσθησαν. πρῶτον μὲν οὖν ὁ διώκων τὴν κατηγορίαν δι-ηγήσατο, εὖ καὶ συνετῶς τοῦτο ποιῶν, ὥστε πείθειν σφόδρα τοὺς δικαστάς. ἔπειτα δὲ ἀνα-στὰς ῥήτωρ ἄλλος οὐχ ἧσσον σοφῶς ὑπὲρ τοῦ φεύγοντος εἶπεν, οἱ δὲ δικασταὶ πρὸς ταῦτα φανεροὶ ἦσαν τὴν γνώμην μετα-βάλλοντες. τότε δὲ τρίτος τις λόγους ἐ-ποίησεν ὑπὲρ τοῦ διώκοντος, δυνάμενος καὶ οὗτος παρὰ τοῖς δικασταῖς. ἀπορήσας οὖν ὁ Σπαρτιάτης ἀπ-ῄει, λέγων ὁμοίως πάντας ἀδικεῖν, τούς τε ἀντιδίκους καὶ τοὺς δικαστάς.

THE TWO PUPPIES.

116. βουλόμενος ὁ Λυκοῦργος προ-τρέπειν τοὺς Σπαρτιάτας πρὸς ἀρετῆς ἐπιτηδεύματα ἐ-νουθέτησεν αὐτοὺς ὧδε. δύο σκύλακας λαβὼν ἀπὸ τῆς αὐτῆς μητρὸς, ἔ-τρεφε χωρὶς ἀλλήλων ἤθεσιν ἀνομοίοις. τὸν μὲν γὰρ κατ' οἶκον ἔ-σωζεν, ὄψα τε διδοὺς καὶ ἄλλην τρυφήν· τὸν δὲ ἠνάγκαζε θηρᾶν λαγὼς ἐν τοῖς ὄρεσι. καὶ ἐ-γένετο ἑκάτερος ἐν χρόνῳ ὅμοιος τῇ τροφῇ. τούτους οὖν τοὺς σκύλακας ἔχων παρ-ῆλθεν ὁ Λυκοῦργος ἐς τὸ κοινόν· δείξας δὲ αὐτοὺς, "οἵδε γε," ἔ-φη, "οἱ σκύλακες τῆς αὐτῆς μητρός εἰσιν. ἐπειδὴ δὲ ἐναντίως ἀλλήλοις τε-θραμμένοι εἰσὶ, διὰ ταῦτα ἀνόμοιοι ἐκ-βεβήκασιν. ὁ μὲν γὰρ αὐτῶν ἀγαθός ἐστιν· ὁ δὲ πρὸς πάντα ἀχρεῖος."

117. τοσαῦτα μὲν οὖν ὁ Λυκοῦργος εἶπε. μετὰ δὲ ταῦτα, στήσας παρ' αὐτοῖς λαγών τινα καὶ ἅμα ὄψα, μεθ-ῆκε τοὺς σκύλακας ἀμφοτέρους ἐπὶ τὰ ἐ-σκευασμένα. εὐθὺς οὖν ὁ μὲν κατ' οἶκον τραφεὶς ὥρμησεν ἐπὶ τὰ ὄψα·

ὁ δὲ ἕτερος, ἀμελήσας τούτων, κατ-έ-λαβε τὸν λαγὼν, καὶ ἐ-σπάραξεν αὐτόν. δείξας δὲ καὶ ταῦτα ὁ Λυκοῦργος ἔ-λεξε τοιάδε. "ὁρᾶτε μὲν, ὦ ἄνδρες Σπαρτιᾶται, τοὺς σκύλακας, οἷα ἑκάτερος ποιεῖ. δεῖ δὲ ὑμᾶς νομίζειν, ὅτι οὐ μόνον ἐν κυσὶν, ἀλλὰ καὶ ἐν ἀνθρώποις, τὸ τοιόνδε φιλεῖ γίγνεσθαι. οἱ μὲν γὰρ εἰς φιλοπονίαν πε-παιδευμένοι ἐκ-βαίνουσιν ἀνδρεῖοι. οἱ δὲ τρυφερῶς ζῶντες μαλακοί τε γίγνονται καὶ ἄχρηστοι."

THE SPARTAN IN ASIA.

118. Λύσανδρος ὁ Λακεδαιμόνιος, ἕως ἐν τῇ ἑαυτοῦ πατρίδι ἦν, τοὺς τοῦ Λυκούργου νόμους πολλῇ σπουδῇ δι-ε-φύλασσε. μετρίαν τε γὰρ τὴν δίαιταν εἶχε, καὶ ἐ-γυμνάζετο ἐν τῇ παλαίστρᾳ, τρυφῆς δὲ καὶ ἀκολασίας πάσης ὅλως ἀπ-είχετο· ὥστε ἔ-δοξε πᾶσιν ἀγαθὸς ἀνὴρ εἶναι καὶ ἐπιμελὴς περὶ τοὺς νόμους. ἐπειδὴ μέντοι ἀφίκετο εἰς τὴν Ἀσίαν στρατηγῶν, οὐχ ὅμοια ἐ-ποίει· ἀλλ' ἀπ-έ-στη τοῦ πατρίου τρόπου, καὶ πρὸς ἡδονὰς παντοίας ἀπο-κλίνων ἐ-γένετο αὐτῶν τῶν Ἰώνων τρυφερώτερος. ἰδοῦσα οὖν αὐτὸν πρὶν μὲν σπουδαῖον ἄνδρα γενόμενον, νῦν δὲ οὐκέτι, εἶπε γυνή τις, ὅτι λέων ἀφ-ικόμενος ἐκ τῆς Ἑλλάδος γέ-γονεν ἐν τῇ Ἀσίᾳ ἀλώπηξ.

THE SINGLE COMBAT.

119. ὁ βασιλεὺς Ἀλέξανδρος ἐ-ποιεῖτό ποτε μεγάλας ἑστιάσεις τῶν φίλων, ἐν δὲ τῷ πότῳ συν-έ-βη ἄξιόν τι μνήμης γενέσθαι. ἦν γὰρ ἐν τοῖς ἑταίροις Μακεδών τις, ὀνόματι Κόραγος, ῥώμῃ τε σώματος δια-φέρων καὶ πολλάκις ἐν πολλαῖς μάχαις πε-φασμένος ἄριστος. παρ-οξυνθεὶς οὖν οὗτος ὑπὸ τῆς μέθης πρου-καλέσατο μονομαχῆσαι Διώξιππον τὸν Ἀθηναῖον, ἀθλητὴν ἄνδρα, καὶ ἐν τοῖς λαμπροτάτοις ἀγῶσιν ἐ-στεφανωμένον. ἐπειδὴ δὲ ὁ Διώ-

ξιππος οὐκ ἀν-έ-νευσεν, ἔ-ταξεν ὁ βασιλεὺς ἡμέραν τῆς μάχης. συν-ῆλθον ουν πολλαὶ μυριάδες ἀνθρώπων ἐπὶ τὴν θέαν, καὶ οἱ μὲν Μακεδόνες καὶ ὁ βασιλεὺς ὑπ-ῆρχον τῷ Κοράγῳ εἰκότως κατὰ τὸ ὁμόφυλον, οἱ δὲ Ἕλληνες αὖ τῷ Διωξίππῳ.

120. προ-ῆλθεν οὖν ἐς τὸν ἀγῶνα ὁ μὲν Μακεδὼν πολυτελέσιν ὅπλοις κε-κοσμημένος, ὁ δὲ Ἀθηναῖος γυμνὸς ὑπ-αληλιμμένος, ἔχων πῖλον σύμμετρον. ἐ-θαύμαζον δὲ οἱ θεώμενοι πάντες ὁρῶντες ἀμφοτέρων τὴν ῥώμην, ὡσπερεὶ θεομαχία τις μέλλοι γίγνεσθαι. καὶ ὁ μὲν Κόραγος λόγχην εἶχε καὶ σάρισαν Μακεδονικὴν καὶ ξίφος, ὁ δὲ Διώξιππος ῥόπαλον μόνον· ὥστε τοῦ μὲν τῷ Ἄρει ὁμοιοτάτη ἡ ὅπλισις ἦν, τοῦ δὲ τῷ Ἡρακλεῖ. ἐπειδὴ δὲ πλησίον ἐ-γένοντο ἀλλήλων, ἀκοντίζει ὁ Μακεδὼν τὴν λόγχην ἐκ συμμέτρου διαστήματος, ὁ δὲ ἕτερος παρ-εκ-κλίνας τι τὴν πληγὴν φθάνει. ἔπειτα δὲ ὁ μὲν τὴν σάρισαν ἐπ-έ-φερεν, ὁ δὲ πατάξας αὐτὴν τῷ ῥοπάλῳ ἔ-θραυσεν.

121. δὶς δὲ ἐλασσωθεὶς ὁ Μακεδὼν ἔ-μελλεν ἤδη σπάσεσθαι τὸ ξίφος· προ-πηδήσας δὲ ἐκεῖνος κατ-έ-λαβε τῇ μὲν εὐωνύμῳ τὴν ἕλκουσαν τὸ ξίφος χεῖρα, τῇ δὲ δεξιᾷ τὸν ἀντίπαλον κινήσας ἐκ τῆς βάσεως ὑπ-ε-σκέλισεν. ὁ μὲν οὖν ἔ-κειτο πεσών, ὁ δὲ ἐπι-βὰς ἐπὶ τὸν τράχηλον τῷ ποδὶ, καὶ τὸ ῥόπαλον ἀνα-τεινάμενος, ἀν-έ-βλεψε πρὸς τοὺς θεωμένους. ἀν-ε-βόησε τοίνυν πρὸς ταῦτα τὸ πλῆθος, διά τε τὸ παράδοξον τοῦ πράγματος, καὶ τὴν τοῦ ἀνδρὸς ὑπερ-βάλλουσαν ἀρετήν. ἔπειτα δὲ κελεύει αὐτὸν ὁ βασιλεὺς τὸν Μακεδόνα ἀφ-εῖναι, καὶ δια-λύσας τὸν ἀγῶνα ἀπ-αλλάσσεται ἀγανακτῶν. ὁ δὲ Διώξιππος ἀφ-εὶς τὸν πεπτωκότα ἀπ-ῄει οἴκαδε ἐ-στεφανωμένος.

122. οὐ μέντοι ἡ τύχη εἴασε τὸν Διώξιππον ἐπὶ πολὺν χρόνον τῇ νίκῃ λαμπρύνεσθαι. ὅ τε γὰρ βασιλεὺς πρὸς αὐτὸν ἀλλοτρίως δι-έ-κειτο, καὶ τῶν Μακεδόνων τινὲς, φθονοῦντες αὐτοῦ τῇ ἀρετῇ, ἐ-βουλεύοντο ἐς ἀδοξίαν τὸν ἄνδρα ἄγειν. ἔ-πεισαν οὖν διάκονόν τινα δειπνοῦντι αὐτῷ ὑπο-βαλεῖν ὑπὸ τοῦ προσκεφαλαίου ποτήριον χρυσοῦν· ἔπειτα δὲ προς-ποιηθέντες εὑρηκέναι αὐτὸ, καὶ ἐξ-ελόντες, ἔ-δειξαν τῷ βασιλεῖ, ὡς κρυφθὲν δὴ ὑπὸ τοῦ Διωξίππου ἐπὶ κλοπῇ. ὁ δὲ ἐξ-ελθὼν αὐτίκα ἐκ τοῦ πότου, καὶ γράψας ἐπιστολὴν πρὸς τὸν Ἀλέξανδρον περὶ τῶν καθ' ἑαυτοῦ με-μηχανημένων, κελεύει τινὰς τῶν φίλων δοῦναι τῷ βασιλεῖ ταύτην, ἑαυτὸν δὲ ἐκ τοῦ ζῆν μετ-έ-στησεν.

A RUDE REPLY.

123. ὁ Ἄβαρις, δυνατὸς γενόμενος ἐν τῇ πόλει, ἐπὶ τούτῳ λίαν ἐ-σεμνύνετο. ὁπότε γὰρ ἄκλητός τις αὐτῷ προς-έλθοι, οὐ φιλικῶς τοὺς τοιούτους ἐ-δέχετο· ἀλλὰ, βραχύ τι καὶ ἀηδὲς ῥῆμα ἀπο-ρ-ρίψας, ἀπ-ε-στρέφετο τοῦ ξένου ἀμελήσας.

ταῦτα δὲ ἀγνοῶν ἰατρός τις ἐ-βούλετο ἐκείνῳ δια-λέγεσθαι, ὡς σοφόν τι παρ' αὐτοῦ ἀκούσεσθαι μέλλων. ἐλθὼν οὖν ἐς τὴν ἐκείνου οἰκίαν, πυθόμενος δὲ ὅτι ἐν τῷ κήπῳ ἐστὶν, εὗρε τὸν Ἄβαριν καθ-ήμενον ὑπὸ δένδρῳ. βουλόμενος δὲ ἀρέσκειν αὐτῷ, ἤρξατο τὸν τόπον ἐπ-αινεῖν, λέγων τὰ δένδρα καλῶς ἐκεῖ αὐξάνεσθαι. ὁ δὲ Ἄβαρις, "ναὶ," ἔ-φη, "σχολὴν γὰρ ἔχει· ἐγὼ δέ γε οὔ." καὶ ἀπο-στραφεὶς εὐθὺς ἀπ-ηλλάχθη.

CRIMES AND DEATH OF BAGOAS.

124. φασὶν οἱ παλαιοὶ λογόγραφοι ὡς ἦρχέ ποτε τῶν Περσῶν Ὦχός τις, διὰ δὲ τὴν ὠμότητα τῶν τρόπων εἰκότως ὑπὸ πάντων ἐ-μισεῖτο. τούτῳ οὖν ἐπι-βουλεύσας ὁ

χιλίαρχος Βαγώας πείθει ἰατρόν τινα ὥστε φαρμάκῳ αὐτὸν ἀν-αιρεῖν. τεθνηκότος δὲ τοῦ Ὤχου, τῷ νεωτάτῳ τῶν υἱῶν αὐτοῦ ὁ Βαγώας τὴν βασιλείαν ἔ-δωκεν. ἀπ-έ-κτεινε δὲ ὕστερον καὶ τοὺς ἀδελφοὺς τοῦ βασιλέως, ὄντας ἔτι νέους, ὅπως μονωθεὶς ὁ νεανίσκος ὑπήκοος μᾶλλον ἑαυτῷ εἴη. ὁ μὲν οὖν Βαγώας διὰ ταῦτα ἤλπιζε πάντων Περσῶν δυνατώτατος γενήσεσθαι. ἐ-λυπεῖτο δὲ ὁ βασιλεὺς πρὸς τοὺς θανάτους τῶν οἰκείων, καὶ φανερὸς ἦν δια-νοούμενος τιμωρίαν ὑπὲρ αὐτῶν λαβεῖν.

125. δείσας οὖν πρὸς ταῦτα ὁ Βαγώας, μὴ κακόν τι πάσχοι ὑπὸ τοῦ βασιλέως, ἀπ-έ-κτεινε καὶ τοῦτον μετὰ τῶν τέκνων, τρίτον ἤδη ἔτος βασιλεύοντα. ἐρήμου δὲ ὄντος τοῦ βασιλικοῦ οἴκου, ἐ-μηχανήσατο ὅπως Δαρεῖος τὴν ἀρχὴν ἕξει, φίλος τε ἑαυτῷ ὤν, καὶ υἱδοῦς Ὀστάνου, ὃς ἦν ἀδελφὸς Ἀρταξέρξου τοῦ τῶν Περσῶν ποτε βασιλεύσαντος. ὕστερον δὲ οὐ πολλῷ τῆς ὑπερβαλλούσης ἀνοσιότητος δίκην ἔ-δωκεν. χρώμενος γὰρ τῇ συνήθει μιαιφονίᾳ ἐ-πειρᾶτο καὶ τὸν Δαρεῖον φαρμάκῳ ἀν-αιρεῖν. μηνυθείσης δὲ τῆς ἐπιβουλῆς, ὁ βασιλεὺς προς-καλεῖται πρὸς ἑαυτὸν τὸν Βαγώαν ὡς ἐπὶ δείπνῳ, καὶ δοὺς αὐτῷ τὸ ποτήριον, ἀναγκάζει πιεῖν τὸ φάρμακον.

TELLOS THE ARCHER.

126. σατράπης γενόμενος ὁ Γεσελὴρ ἐς τοσοῦτον ὕβρεως προ-ῆλθεν, ὥστε, τιάραν ἐπὶ σκόλοπος ἀνα-κρεμάσας, ἐ-κέλευσε τοὺς παρ-ιόντας πάντας ταύτην προς-κυνεῖν. οἱ μὲν οὖν ἄλλοι ταῦτα ἐ-ποίουν· ἦν δὲ Τέλλος τις, τοξότης τῶν τότε ἀνθρώπων μακρῷ ἄριστος, καὶ δόξαν ἔχων ἐν τῇ πατρίδι, ὡς συνετὸς ἀνὴρ ὤν, καὶ ἅμα εὔτολμος. πυθόμενος ἄρα οὗτος οἷα ὁ σατράπης κελεύει, ἠγανάκτησε. παρ-ιὼν δέ ποτε παρ᾽ ἐκεῖνον τὸν τόπον, καὶ τὴν τιάραν

ἰδὼν, οὐ μόνον αὐτὴν οὐ προς-ε-κύνησεν, ἀλλὰ καὶ ὀϊστὸν ἐπὶ αὐτῇ ἐφ-ῆκεν ἀπὸ τοῦ τόξου. πρὸς ταῦτα οὖν ὀργισθεὶς ὁ Γεσελὴρ ἐ-κέλευσε τοὺς δορυφόρους συλ-λαβεῖν ἐκεῖνον ἐπὶ θανάτῳ.

127. ὁ μὲν οὖν Τέλλος συλ-ληφθεὶς ὑπὸ τῶν δορυφόρων οὐδ' ὁτιοῦν ἐ-ταράχθη. ἰδὼν δὲ ἄρα αὐτοῦ τὴν ἀφοβίαν ὁ Γεσελὴρ, ἄλλο τι ἐ-μηχανήσατο ἐπ' αὐτὸν τοιόνδε. μετα-πεμψάμενος ἐκείνου τὸν υἱὸν, (ἦν δὲ ἔτι παῖς,) ἐπὶ τῆς κεφαλῆς τούτου μῆλον ἐπ-έ-θηκε. ταῦτα δὲ ποιήσας ἐ-κέλευσε τὸν πατέρα τοξεύειν, σκοπῷ χρώμενον τῷ μήλῳ. εἰ δὲ μὴ, ἠπείλησε θανατώσειν αὐτίκα ἀμφοτέρους, τόν τε Τέλλον καὶ τὸν παῖδα αὐτοῦ ὁ δὲ Τέλλος πρὸς ταῦτα εἰκότως ἐ-φοβήθη· ἐπικίνδυνον γὰρ τὸ πρᾶγμα ἦν, ἀλλ' ὅμως ἔ-δει αὐτὸν ἐπι-χειρεῖν. λαβὼν οὖν τὸ τόξον καὶ ὀϊστοὺς δύο, ἐ-κέλευσε τὸν παῖδα ἑστάναι ἵνα ἔ-δει, καὶ μύσαντα ἀκινήτως ἔχειν, ἕως ἂν αὐτὸς τὸ πρᾶγμα ἐπι-τελέσῃ.

128. ἐ-ποίει οὖν ὁ μὲν παῖς τὸ προς-ταχθὲν, ὁ δὲ Τέλλος τῶν ὀϊστῶν τὸν ἕτερον ἐκ-λέξας ἐ-στοχάζετο τοῦ μήλου. ὁ δὲ ὀϊστὸς τοῦ σκοποῦ οὐχ ἥμαρτεν, ἀλλὰ, διασχίσας τὸ μῆλον, τὸν παῖδα οὐκ ἔ-τρωσεν. οἱ δὲ περιεστῶτες πάντες ἐπ-ε-θορύβουν, ὥστε ἠναγκάσθη ὁ Γεσελὴρ καίπερ ἀχθόμενος ἀμφοτέρους ἀπο-λῦσαι. ἀλλ' οὐκ ἔ-λαθεν αὐτὸν ὁ Τέλλος ὀϊστοὺς δύο λαβών. ἐπ-ηρώτα οὖν τὸν ἄνθρωπον, τί βουλόμενος ἐκεῖνο ἐ-ποίησεν. ὁ δὲ Τέλλος πρὸς ταῦτα βραχὺ μέν τι σιγὴν εἶχεν· ἔπειτα δὲ, "διά σε," ἔ-φη, "ἐκεῖνο ἐ-ποίουν. εὖ γὰρ ἴσθι, ὅτι εἰ τῷ ὀϊστῷ τῷδε τὸν παῖδα ἔ-τρωσα, ἔ-κτεινα ἂν καί σε τῷ ἑτέρῳ."

DEATH OF BRENNUS.

129. *Βρέννος ὁ τῶν Γαλατῶν βασιλεὺς, ἐλθὼν ἐς Μακεδονίαν μετὰ πέντε καὶ δέκα μυριάδων στρατιωτῶν καὶ ἱππέων μυρίων καὶ ἑτέρου ὄχλου πολλοῦ, πόλεμον ἐκεῖ ἐ-ποιεῖτο. ὡς δὲ οὐδὲν ἤνυτεν, ὕστερον ἐς τὴν Ἑλλάδα προ-ῆλθε, καὶ ἐς τὸ μαντεῖον τὸ ἐν Δελφοῖς, δια-νοούμενος αὐτὸ συλῆσαι. ἐπ-ε-βοήθουν οὖν οἱ Ἕλληνες πανταχόθεν, καὶ μάχη ἐ-γένετο. ὁ δὲ Βρέννος, πολλὰς μυριάδας στρατιωτῶν ἀπο-βαλὼν, ἐ-πλήγη καὶ αὐτὸς τρισὶ πληγαῖς. ἀθυμῶν οὖν πρὸς ταῦτα ἐ-κέλευσε τοὺς Γαλάτας, ἑαυτὸν μὲν ἀπο-κτεῖναι, καὶ τοὺς ἄλλους, ὅσοι τραύματα ἔχοιεν, βασιλέα δὲ κατα-στήσαντας Κιχώριον οἴκαδε αὐτοὺς ἀπ-ιέναι. τοὺς μὲν οὖν ἄλλους οὗτοι δι-ε-χρήσαντο, ὁ δὲ Βρέννος ἑαυτὸν ἀπ-έ-σφαξεν.*

DISCRETION IS THE BETTER PART OF VALOUR.

130. *στρατηγός τις τείχισμα πολιορκῶν οὐκ ἐ-δύνατο αὐτὸ ἑλεῖν· ἦν γὰρ τό τε χωρίον φύσει ἰσχυρὸν, καὶ οἱ ἐν-όντες πολέμιοι οὐ μαλακοὶ ἀλλὰ ἀνδρεῖοί τε καὶ τῶν πολεμικῶν ἔμπειροι. πρὸς ταῦτα οὖν ἀγανακτήσας ὁ στρατηγὸς ἔ-φη δώσειν μισθὸν μέγαν, ἤν τις τῶν μεθ' ἑαυτοῦ τολμᾷ νύκτωρ ἐς τὸ χωρίον ἀνα-βαίνειν, καὶ τοὺς φύλακας κτείνας τὰς πύλας δια-ρ-ρηγνύναι. ἀκούσας δὲ ταῦτα νεανίσκος τις αὐτὸς καθ' ἑαυτὸν μόνον τοῦ ἔργου ἐ-πειρᾶτο. εὖ δὲ αὐτῷ πάντα ἐ-χώρει, ὥστε διὰ ταῦτα ἡ μὲν πόλις ἑ-άλω, ὁ δὲ νεανίσκος τὸν μισθὸν ἔ-λαβε, καὶ ἐπ-ῃνέθη ἅμα ὑπὸ τοῦ στρατηγοῦ, ὡς κάλλιστον ἔργον ἐπι-τελέσας.*

131. *μετὰ δὲ ταῦτα ἐς ἄλλην τινὰ πόλιν ἐλθὼν ὁ στρατηγὸς, βουλόμενος δὲ καὶ ταύτην ἑλεῖν, ὑπ-έ-σχετο ἄλλα πολλὰ δῶρα τῷ νεανίσκῳ, ἢν θέλῃ τῷ αὐτῷ τρόπῳ*

ἐς τὸ χωρίον ἀνα-βαίνειν. ὁ δὲ οὐκ ἔ-φη ταῦτα ποιήσειν, ἐπικίνδυνον γὰρ τὴν πεῖραν εἶναι. θαυμάσας οὖν ὁ στρατηγὸς, "ἀλλ', ὦ ἀγαθὲ," ἔ-φη, "πῶς ταῦτα λέγεις; ἐπεὶ πρίν γε, ἔργου οὐχ ἧσσον ἐπικινδύνου πειρώμενος, οὐκ ἐ-ταράχθης." γελάσας δὲ πρὸς ταῦτα ὁ νεανίσκος, "ναὶ," ἔ-φη, "ἐκεῖνό γε ἐπ-ε-τέλεσα, χρημάτων γὰρ τότε ἐ-σπάνιζον, ὁ δὲ βίος μοι ἀτερπὴς ἦν, ὥστε εἰκότως οὐκ ἐ-φιλοψύχουν. νῦν δὲ πλούσιος γενόμενος διὰ τὸν μισθὸν, ὅνπερ μοι τότε ἔ-δωκας, βούλομαι τὸ λοιπὸν κινδύνων ἀπ-έχεσθαι."

THE FISHMONGER.

132. ἰχθυοπώλης τις πονηρὸς ἐν ταῖς Ἀθήναις, ἰχθῦς ἔχων σαπροὺς καὶ ξηροὺς, ἐ-βούλετο αὐτοὺς καλλωπίζειν, ἵνα δοκῶσι τῷ τυχόντι εἶναι νεαλεῖς. οὐ μέντοι ἐ-τόλμησεν ὕδωρ αὐτῶν κατα-χεῖν, ὁ γὰρ νόμος ἀπ-ηγόρευε τοῦτο ποιεῖν. πρὸς ταῦτα οὖν ἐ-μηχανήσατο τάδε. μάχην τινὰ ἐ-ποιεῖτο ἐν τῷ ἀγοραίῳ ὄχλῳ, ὥστε λοιδορίαν πολλὴν ἐν αὐτοῖς γενέσθαι, τέλος δὲ καὶ πληγάς. ἔπειτα δε, προςποιησάμενος τραύματά τινα δεινὰ εἰληφέναι, ἔ-κειτο ἐν μέσοις τοῖς ἰχθῦσι, δοκῶν λιποψυχεῖν. ἰδὼν δὲ αὐτόν τις τῶν πλησίον ἐ-βόησεν εὐθὺς, "ὕδωρ, ὕδωρ." καὶ πρόχουν ἅμα λαβὼν κατ-έ-χει ὕδωρ πολὺ τοῦ τε ἀνθρώπου καὶ τῶν ἰχθύων, ὥστε δοκεῖν ἐκείνους νεωστὶ ἑ-αλωκέναι.

THE FOOLISH KING.

133. ὁ τῶν Θρᾳκῶν βασιλεὺς Κότυς ἦν (ὡς ἔοικε) πάντων ἀνθρώπων ἠλιθιώτατος, εἴ γε ἀληθές ἐστι τόδε, ὃ περὶ αὐτοῦ μνημονεύεται. βουλόμενος γὰρ ἔντιμος μᾶλλον φαίνεσθαι τοῖς ὑφ' ἑαυτῷ, ἔ-πλασέ ποτε ψεῦδός τι γελοιότατον, φάσκων ὡς μέλλει δὴ γαμεῖν τὴν θεὸν Ἀθηνᾶν.

ἐπὶ τούτοις οὖν παρ-ε-σκεύασέ τε δεῖπνον μέγα, καὶ συν-ε-κάλεσε τοὺς ἀρίστους τῶν Θρᾳκῶν πάντας, καὶ τὸν ἱερέα ἐ-κέλευσεν ἑστάναι παρὰ τῷ βωμῷ ἡτοιμασμένον, καὶ τὰ ἄλλα πάντα ἐ-πορίζετο, ὅσα ἐπιτήδεια πρὸς γάμον ἐστί. συν-ῆλθον οὖν οἱ κληθέντες, καὶ ὁ βωμὸς παρ-ε-σκεύαστο, ἔ-στη δὲ καὶ ὁ Κότυς ἐν τῇ αὐλῇ ἐ-στεφανωμένος· ἡ δὲ νύμφη εἰκότως οὐ παρ-ε-γένετο.

134. τέως μὲν οὖν ἡσυχίαν ἔ-σχεν ὁ Κότυς, ὡς τὴν θεὸν ἐπι-μένων. ἐπειδὴ δὲ ἐκείνη οὐ παρ-ε-γένετο, ἔ-πεμψε δορυφόρον τινὰ σκεψόμενον, εἰ ἐν τῇ οἰκίᾳ πού ἐστιν. ἐπ-αν-ελθὼν δὲ αὖθις ἐκεῖνος, "ὦ βασιλεῦ," ἔ-φη, "οὐκ οἶδα ὅ τι χρὴ ἐν τῷ παρόντι ποιεῖν· ἐρευνῶν γὰρ τὴν οἰκίαν πᾶσαν, τὴν θεὸν οὐχ εὗρον ἐν-οῦσαν." ἀκούσας δὲ ταῦτα ὁ βασιλεὺς ὠργίσθη, καὶ ἀκόντιον λαβὼν ἀπ-έ-κτεινε τὸν ἄνθρωπον. ἔπειτα δὲ καὶ ἄλλον ἔ-πεμψεν, ὁ δὲ ὅμοια εἰπὼν ὅμοια ἔ-παθε. πεμφθεὶς δὲ τρίτος τις ἔ-φη διὰ φόβον, ὡς ἡ θεὸς ἔνδον κάθ-ηται. ὁ δὲ βασιλεὺς οὐχ ἧσσον ὀργισθεὶς ἀπ-έ-κτεινε καὶ τοῦτον.

THE PHILOSOPHER AND THE MOUSE.

135. φιλόσοφός τις εἰς τοσοῦτον πενίας ἧκεν, ὥστε οὐδὲ σῖτον ἱκανὸν παρα-σκευάζεσθαι ἐ-δύνατο, ἀλλὰ περι-ϊὼν τὴν πόλιν πᾶσαν, εἰ καυλούς τινας λαχάνων εὕροι που ἀπ-ε-ρ-ριμμένους, τούτους συλ-λέξας ἤσθιεν. ἔ-δοξεν οὖν ἑαυτῷ πάντων τῶν ζώντων εἶναι ἀθλιώτατος, καὶ ἐν νῷ εἶχεν ἑαυτὸν δια-χρήσασθαι, οἰόμενος τὸν τοιοῦτον βίον οὐκέτι ἀνεκτὸν εἶναι. πορευόμενος δέ ποτε διὰ τῆς πόλεως, καὶ τοὺς καυλοὺς ἐσθίων, ἀποσπάσματά τινα αὐτῶν ἐκ τῆς χειρὸς ἀφ-ῆκεν. εὐθὺς οὖν προς-ελθὼν μῦς τις ἀν-ήρπασε τὰ ἀπο-πεσόντα, καὶ κατ-έ-φαγεν. ἰδὼν δὲ αὐτὸν

ὁ φιλόσοφος ἐ-γένετο εὐθυμότερος, καὶ ἔ-φη μειδιάσας, "δοκεῖ ἐκεῖνο τὸ ζῷον ἀθλιώτερόν τε ἐμοῦ εἶναι, καὶ ἅμα φιλοσοφώτερον."

AN ADVENTURE OF LOUIS VII.

136. δια-νοούμενος ὁ βασιλεὺς πόλεμον ἐν τῇ Ἀσίᾳ ποιεῖσθαι, ἦλθε πρῶτον ἐς Βυζάντιον. καὶ τὸν Ἑλλήσποντον δια-βὰς ἐ-πορεύετο διὰ τῆς Μυσίας καὶ τῆς Λυδίας μέχρι Ἐφέσου. ἐντεῦθεν δὲ ἀπο-κλίνων στρατεύει εἰς τὴν μεσόγειαν. ἀφ-ικόμενος δὲ πρὸς ὄρος τι ὑψηλὸν, ἐ-κέλευσέ τινα τῶν ταξιάρχων ἀνα-βαίνειν πρῶτον, καὶ, τὰ ἄκρα κατα-λαβόντα, μένειν ἐκεῖ ἕως ἂν αὐτὸς παρα-γένηται. ἀνα-βὰς οὖν ἐκεῖνος εἰς τὰ ἄκρα, καὶ εὑρὼν αὐτὰ ἀφύλακτα ὄντα, οὐκ ἀνα-παύεται, ἀλλ' ἐπείγεται εἰς τὰ κατωτέρω. ταῦτα δὲ ποιῶν οὐ λανθάνει τὸν τῶν βαρβάρων ἡγεμόνα, ἔ-τυχε γὰρ πλησίον ἐκείνου τοῦ τόπου ὤν. προς-ελθὼν οὖν οὗτος ὅτι τάχιστα κατ-έ-λαβε τὸ ἄκρον.

137. ὁ δὲ βασιλεὺς ἐν τῷ μεταξὺ ἡσυχῇ ἀν-έ-βαινεν, οἰόμενος τοὺς πεμφθέντας στρατιώτας τὰ ἄκρα κατ-έχειν· ἀφ-ικόμενος δὲ εἰς αὐτὰ, εὑρίσκει τοὺς βαρβάρους στρατο-πεδευομένους. ἦν δὲ μάχη ἰσχυρὰ, οἱ δὲ βάρβαροι ἐ-γένοντο κρείσσονες. καὶ ὁ μὲν βασιλεὺς περι-ϊὼν ἐ-θάρσυνε τοὺς ὑφ' ἑαυτοῦ, οἱ δὲ πανταχόθεν πιεσθέντες ἔ-φευγον, ὥστε μονωθεὶς ἐκεῖνος ὅσον οὐχ ἑάλω. ἀλλ' οὐδὲ τότε ἠθύμησε πρὸς τὸν παρ-όντα κίνδυνον· ἰδὼν δὲ πλησίον αὐτοῦ κρημνόν τινα ἐξ-έχοντα τοῦ ὄρους, ἀν-ε-πήδησεν εἰς αὐτὸν, καὶ τοὺς ἀεὶ ἐπ-ερχομένους πολεμίους ἤμυνεν. ὁπότε δέ τινας αἴσθοιτο ἀνα-βαίνοντας, τούτων ἢ τὰς κεφαλὰς ἢ τὰς χεῖρας δι-έ-κοψε, ξίφει παίων, ὥστε πάντες ἐξ-ε-πλάγησαν.

138. οἱ μὲν οὖν βάρβαροι ἐπὶ πολὺν χρόνον δι-ε-τέλουν πειρώμενοι ἀνα-βαίνειν ἐπὶ τὸν κρημνόν. τέλος δέ, αἰσθόμενοι ὅτι οὐδὲν ἀνύτουσιν, ἀφ-ίστανται. καὶ ἐ-θαύμαζον πάντες τῆς τοῦ ἀνδρὸς ἀφοβίας, ἀλλ' οὐδεὶς ἔ-γνω ὅστις εἴη. μετὰ δὲ ταῦτα ἐπ-ελθόντες οἱ τοξόται ἐ-στοχάζοντο αὐτοῦ· ὁ δὲ οὐδὲ οὕτως τραῦμα οὐδὲν ἔ-λαβεν, ἔ-τυχε γὰρ θώρακά τε φορῶν καὶ κράνος χαλκοῦν, ὥστε οἱ ὀϊστοὶ οὐ δι-ίκοντο. ἐπειδὴ δὲ νὺξ ἐ-γένετο, ἀπ-ῆλθον καὶ οἱ τοξόται, βουλόμενοι συλᾶν τοὺς νεκρούς, πολλοὶ γὰρ ἦσαν οἱ πεπτωκότες. ὁ δὲ βασιλεὺς τότε δὴ ἀπὸ τοῦ κρημνοῦ καταβαίνει, καί, λαθὼν τοὺς πολεμίους, εἰς τὸ ἑαυτοῦ στρατόπεδον δια-σώζεται.

THE RHINOCEROS.

139. Διόδωρος Σικελιώτης φησὶν εἶναι ἐν τῇ Λιβύῃ ζῷον, ὃ καλεῖται ῥινόκερως, ῥώμῃ μὲν καὶ βίᾳ παραπλήσιον ὂν ἐλέφαντι, τῷ δὲ ὕψει ταπεινότερον. τοῦτο οὖν τὸ ζῷον ἔχει τὸ δέρμα ἰσχυρότατον, φέρει δὲ ἐπὶ ἄκρων τῶν μυκτήρων κέρας σιμόν, τῇ δὲ στερεότητι σιδήρῳ ὅμοιον. δια-μαχόμενον δὲ ἀεὶ πρὸς τοὺς ἐλέφαντας περὶ τῆς νομῆς, πρῶτον μὲν πρὸς πέτραν τινὰ τὸ κέρας θήγει, συμ-πεσὸν δὲ ἔπειτα τῷ ἐλέφαντι, καὶ ὑπο-δυόμενον ὑπὸ τὴν κοιλίαν, σπαράττει τὴν σάρκα τῷ κέρατι καθάπερ ξίφει. ὅταν δὲ φθάσας ὁ ἐλέφας προ-κατα-λαμβάνῃ τὸν ῥινόκερων τῇ προβοσκίδι, περι-γίγνεται ῥᾳδίως, τύπτων τοῖς ὀδοῦσι, καὶ τῇ βίᾳ πλέον ἰσχύων.

THE THIEVISH PHYSICIAN.

140. ἰατρός τις ἐν τῇ Ῥώμῃ ἔ-σχε μὲν δόξαν ὡς ἔμπειρος ὢν τῆς τέχνης, ὑπὸ δὲ τῶν γνωρίμων οὐ πάνυ εὖ ἤκουεν, ἦν γὰρ δὴ λίαν πλεονέκτης. οὐ μέντοι ῥᾴδιον ἦν ἐλέγχειν αὐτὸν ἀδικοῦντα· ἔ-φυ γὰρ ἀγχίνους τε καὶ

λέγειν πιθανὸς, ὥστε, εἰ καὶ φωραθείη δρῶν τι ἀνελεύθερον, ἐ-δύνατο ἀεὶ διάφευξίν τινα εὑρεῖν τῆς αἰτίας. ἰδὼν δέ ποτε παρα-κειμένην νοσοῦντί τινι χρυσῆν φιάλην ἐ-πειρᾶτο ταύτην κλέπτειν. αἰσθόμενος δὲ ταῦτα ὁ νοσῶν, καὶ βοήσας, "ὦ κάκιστε σὺ," ἔ-φη, "τί ποιεῖς ἀφ-αιρῶν τὴν φιάλην;" ὁ δὲ οὐδ' ὁτιοῦν ἐρυθριάσας ἀντ-εῖπεν εὐθὺς, "διά σε τόδε ποιῶ, οὐ γὰρ δεῖ σε νοσοῦντα οἶνον πίνειν."

SERVE HIM RIGHT!

141. ἦν ποτε ἐν τῇ Σάμῳ ἄνθρωπός τις, ἀστεῖος μὲν, τῆς δὲ γλώσσης ἀκρατής. οὗτος οὖν, δια-φερόμενος νεανίσκῳ τινὶ εὐγενεῖ, βιβλίον συν-έ-γραψεν, ἐν ᾧ ἐκεῖνον κακοῖς πολλοῖς ῥήμασιν ὠνείδισεν. πυθόμενος δὲ ταῦτα ὁ νεανίσκος, καὶ τὸ πρᾶγμα βαρέως φέρων, ἐν νῷ εἶχε τιμωρίαν τινὰ λαμβάνειν. καὶ ἐπι-τυχὼν ἐπὶ τῷ ἀνθρώπῳ ἐν τῇ ἀγορᾷ, χαλεπῶς αὐτὸν μετ-ε-χείρισε βακτηρίᾳ ῥαπίζων, καὶ ἐ-κέλευσεν αὐτὸν τὸ λοιπὸν ἀπ-έχεσθαι τῆς τοιαύτης λοιδορίας. ἀπο-τρέχων οὖν ἐκεῖνος ὡς τοὺς ἄρχοντας, δίκας τούτων ᾔτει. οἱ δὲ ἔ-σκωπτον αὐτὸν, λέγοντες, "ὦ ἄνθρωπε, ποίων δικῶν χρῄζεις; ἐκεῖνα γὰρ γράψας ἄξιος ἦσθα ῥαπίζεσθαι· ὥστε τό σοι προσ-ῆκον ἤδη ἔχεις."

EPAMINONDAS ON TRIAL.

142. ἐπ-αν-ελθὼν ἐκ τῆς Λακωνικῆς ὁ Ἐπαμεινώνδας δίκην θανάτου ἔ-φευγε. κατ-ηγόρουν γὰρ αὐτοῦ τινὲς τῶν Θηβαίων, ὡς, ἀπο-δειχθεὶς εἰς ἕνα μόνον ἐνιαυτὸν στρατηγὸς, ἔ-μεινεν ἐν τῇ ἀρχῇ ἄλλους τρεῖς μῆνας παρὰ τὸν νόμον. παρ-ελθὼν οὖν εἰς τὸ δικαστήριον, ἔ-φη ὅτι οἱ μὲν νόμοι λόγοι εἰσὶ, τὰ δὲ ἑαυτοῦ ἔργα πλέονος ἄξιά ἐστιν ἢ πάντες λόγοι. "εἰ δὲ μὴ," ἔ-φη, "ταῦτα καὶ ὑμῖν δοκεῖ, ἕτοιμός εἰμι ἤδη ἀπο-θανεῖν. ἀξιῶ δὲ ὑμᾶς ἐν τῇ

ἐμῇ στήλῃ ἐπι-γράφειν, ὡς ἀπ-έ-κτειναν οἱ Θηβαῖοι τὸν Ἐπαμεινώνδαν, ὅτι ἠνάγκασεν αὐτοὺς ἀπο-δοῦναι ἐλευθερίαν τοῖς Ἕλλησι, καὶ δῃῶσαι τὴν Λακωνικὴν διὰ πεντακοσίων ἐτῶν ἀδῄωτον οὖσαν."

143. ὁ μὲν οὖν Ἐπαμεινώνδας τοσαῦτα εἶπεν. ἀκούσαντες δὲ αὐτοῦ τὴν ἀπολογίαν οἱ περι-εστῶτες πάντες ἐπ-ε-θορύβουν, τῶν δὲ κατηγόρων οὐδεὶς ἔτι ἐ-τόλμα πρὸς ταῦτα οὐδὲν ἀντ-ειπεῖν. εὐθὺς οὖν οἱ δικασταὶ αὐτὸν ἀπ-έ-λυσαν, ὡς ποιήσαντα μὲν παράνομα, ἄξιον δὲ οὐκ ὄντα διὰ ταῦτα κολάζεσθαι. ἐπ-αν-ελθὼν δὲ ἐκεῖνος ἐκ τοῦ δικαστηρίου εἶδε κυνίδιόν τι, ὅπερ οἴκοι ἔ-τρεφε, πρόστρεχον πρὸς αὐτὸν, καὶ σαῖνον. αἰσθόμενος οὖν ταῦτα εἶπε πρὸς τοὺς παρ-όντας, "οὗτος μὲν ὁ κύων ἀπο-δίδωσί μοι χάριν τῶν πρὶν εὐεργεσιῶν. οἱ δὲ Θηβαῖοι οὐχ ὅμοια δρῶσιν, ἀλλὰ κατηγοροῦσί μου ἐν τοῖς δικαστηρίοις. καίτοι πολλάκις καὶ ἐκεῖνοι ὑπ' ἐμοῦ εὖ πε-πόνθασιν."

PROFIT AND LOSS.

144. κάπηλοι δύο ἀγγεῖον οἴνου κοινῇ ἐ-πρίαντο ὀβολῶν εἴκοσι. τοῦτο οὖν ἐ-βουλεύοντο φέρειν μεθ' ἑαυτῶν εἰς τὰ Ὀλύμπια, ἵνα καπηλεύωσι τὸν οἶνον τοῖς ἐκεῖ θεαταῖς. ἐπειδὴ δὲ εἴκοσι κυάθους τὸ ἀγγεῖον ἐ-χώρει, ἔ-δοξεν αὐτοῖς αἰτεῖν παρὰ τῶν ὠνουμένων καθ' ἕκαστον κύαθον δύο ὀβολούς. δῆλον γὰρ ἦν, ὅτι εἰ ταῦτα ποιοῖεν, κερδαίνοιεν ἂν ἀπὸ τοῦ πράγματος ὀβολοὺς εἴκοσι.

ὅτε δὲ ἐν τῇ ὁδῷ ἦσαν, ὁ ἕτερος τῶν ἀνθρώπων ἐ-δίψησεν. ἔ-φη οὖν δώσειν τῷ φίλῳ τέσσαρας ὀβολούς, ἐφ' ᾧ ἐξ-εῖναι αὐτῷ, κύαθον ἕνα αἱρεῖσθαι τοῦ οἴνου. "οὕτως γάρ," ἔ-φη, "ἀπ-αλλαχθήσομαι μὲν ἐγὼ τῆς δίψης, κερδανεῖς δὲ σὺ τρεῖς ὀβολούς."

145. ἐπὶ τούτοις οὖν ὁ ἕτερος ὡμολόγησε, καὶ δεξάμενος τοὺς ὀβολοὺς, τὸν οἶνον ἐκείνῳ ἔ-δωκεν. ὕστερον δὲ οὐ πολὺ, διψήσας καὶ οὗτος ἐπ-ε-θύμησε τοῦ οἴνου. ἀπ-ε-δίδου οὖν τῷ φίλῳ τὸ ἀργύριον, ὅπερ ἄρτι ἔ-λαβε, λέγων ὅτι βούλεται καὶ αὐτὸς τεσσάρων ὀβολῶν κύαθον οἴνου πρίασθαι, οὕτως δὲ ἔ-φη καὶ ἐκεῖνον κερδαίνειν ἂν τρεῖς ὀβολούς. μετὰ δὲ ταῦτα οὐχ ἧσσον διψῶντες οἱ ἄνθρωποι πολλάκις ἀμφότεροι τὸ αὐτὸ ἐ-ποίουν· ὥστε τέλος ὁ οἶνος ἐξ-έ-λιπε. αἰσθόμενοι οὖν ταῦτα ἐ-θαύμαζον· ἐπεὶ δῆλος ἦν ἑκάτερος τρεῖς ὀβολούς πολλάκις κερδάνας, ἀλλ' ὅμως λογιζόμενοι εὗρον οὐδέτερον ἔχοντα ὀβολοὺς πλείους, ἢ ὅσους ἔχων ἀφ-ωρμήθη.

THE TALKING BIRDS.

146. Καρχηδόνιός τις ἦν ὁ Ἄννων, ἦλθε δὲ ἐπὶ τοσοῦτον ὑπερηφανίας, ὥστε ἠξίου τέλος μηκέτι θνητὸς νομίζεσθαι ἀλλὰ θεός. βουλόμενος δὲ τὴν φήμην ταύτην περὶ ἑαυτοῦ διὰ πάσης τῆς Λιβύης κατα-σπείρειν, ἐ-μηχανήσατο τοιάδε. ὄρνιθας πολλοὺς ᾠδικοὺς πριάμενος, ἔ-τρεφεν αὐτοὺς ἐν σκότῳ, καὶ ἓν τόδε μόνον ἐ-δίδασκεν αὐτοὺς λέγειν, "θεός ἐστιν Ἄννων." ἐπειδὴ δὲ ἐκεῖνοι, μίαν ταύτην φωνὴν ἀεὶ ἀκούοντες, ἐγκρατεῖς αὐτῆς ἐ-γένοντο, ἀφ-ῆκεν αὐτοὺς ὁ Ἄννων, καὶ ἐ-πέτοντο ἄλλος ἄλλοσε. γευσάμενοι δὲ ἤδη τῆς ἐλευθερίας, καὶ ἐς τὰ σύντροφα ἤθη πάλιν τραπόμενοι, ᾖδον πάντες τὰ οἰκεῖα ᾄσματα· τοῦ δὲ Ἄννωνος, καὶ τῶν ὑπ' ἐκείνου διδαχθέντων, ὅλως ἐπ-ε-λάθοντο.

THE LOST PURSE.

147. ἔμπορός τις, περι-πατῶν ἐν τῇ ἀγορᾷ, ἔ-λαθεν ἑαυτὸν ἀφ-εὶς κατὰ τύχην ἐκ τοῦ κόλπου βαλλάντιον ἀργύρου πε-πληρωμένον. ἔπειτα δὲ, βουλόμενος πρίασθαί τι, τὸ δὲ βαλλάντιον οὐχ εὑρὼν, διὰ ταῦτα ἐς ἀπορίαν

πολλὴν κατ-έ-στη. ἐ-ποιεῖτο οὖν κήρυγμα ἐν τῇ ἀγορᾷ, ὡς, εἴ τις τὸ βαλλάντιον εὑρὼν ἀπο-δώσει, λήψεται οὗτος παρ' ἑαυτοῦ πεντήκοντα δραχμάς. ἀκούσας δὲ τὸ κηρυχθὲν πένης τις, καὶ ζήτησιν ποιησάμενος τῆς ἀγορᾶς, εὗρέ τε τὸ βαλλάντιον, καί, ἀπο-δοὺς αὐτό, ἠξίου τὸν μισθὸν κομίζεσθαι. ὁ δὲ ἔμπορος,—ἦν γὰρ (ὡς ἔοικεν) ἄδικος ἄνθρωπος καὶ φιλάργυρος,—ἐ-χάρη μὲν τὸ βαλλάντιον ἀνα-λαβών, τὸν δὲ μισθὸν ἀπο-τῖσαι οὐκ ἐ-βούλετο.

148. ἐπ-αινέσας οὖν τὸν πένητα, ἔ-φη δώσειν τὰς δραχμάς, ἀλλὰ δεῖν σκέψασθαι πρῶτον, εἰ ἔν-εστιν ἔτι ἐν τῷ βαλλαντίῳ πάντα, ὅσα ἐν αὐτῷ τότε ἦν, ὅτε ἀπ-ε-βλήθη. σκεψάμενος δέ, "τὰ μὲν ἄλλα," ἔ-φη, "ἐν-όντα ἔτι εὑρίσκω. ἦν δὲ ἐν τῷ βαλλαντίῳ λίθος τις, σάπφειρος πολυτελής· δεῖ σε οὖν ἀπο-δοῦναι καὶ ταύτην, ἔπειτα δὲ τὰς δραχμὰς λήψει κατὰ τὸ κηρυχθέν." τοσαῦτα οὖν ὁ μὲν ἔμπορος ἔ-λεξεν· ὁ δὲ πένης, αἰσθόμενος ὅτι ἀπατᾶται, ὠργίσθη τε καὶ ἀντ-εῖπεν εὐθύς, "ὦ οὗτος, τί φλυαρεῖς ὧδε; σάπφειρος γὰρ οὐδεμία ἦν ἐν τῷ βαλλαντίῳ, ἀλλὰ τὰ ἐν-όντα ἐν αὐτῷ πάντα ἤδη ἔχεις."

149. ἀκούσας δὲ ταῦτα ὁ ἔμπορος οὐδὲν ἧσσον δι-ισχυρίζετο, ὡς οὐ δώσει τὸν μισθόν, ἐὰν μὴ καὶ ἐκεῖνος τὴν σάπφειρον αὖθις ἀπο-δῷ. πρὸς ταῦτα οὖν ὀργισθεὶς ὁ πένης εἰς-άγει τὸν ἔμπορον πρὸς τοὺς ἄρχοντας. ἐ-γένετο τοινυν ἀνάκρισις, καὶ ὁ μὲν πένης τὸ πρᾶγμα δι-ηγήσατο, λέγων, ὅτι τό τε βαλλάντιον καὶ τὰ ἐν-όντα ἐν αὐτῷ πάντα ἀπο-δέ-δωκεν. ὁ δὲ ἔμπορος ἔ-φασκεν αὖ, ὡς ἐν-ῆν ἐν τῷ βαλλαντίῳ σάπφειρος, καὶ τὰ μὲν ἄλλα ἀπο-δέ-δοται, ἐκείνη δὲ οὔ. ἐρωτηθεὶς δὲ ποία τε ἦν ἡ σάπφειρος, καὶ πόθεν αὐτὴν κέ-κτηται, οὐ δι-ε-τέλει τὰ αὐτὰ συνε-χῶς ἀπο-κρινόμενος, ἀλλὰ φανερὸς ἦν πᾶσι ψευδῆ λέγων.

150. αἰσθόμενοι δὲ ταῦτα οἱ ἄρχοντες τὸ πρᾶγμα ἔ-κριναν ὧδε. "σὺ μὲν ἄρα," ἔ-φασαν, "ὦ ἔμπορε, ἀπ-έ-βαλες (ὡς ἔοικε) βαλλάντιον, ἄλλα τε ἐν αὐτῷ ἔχον καὶ σάπφειρον. εὕρηκε δὲ οὗτος βαλλάντιον, ἔχον ἐν αὐτῷ ἄλλα μεν πολλὰ, σάπφειρον δὲ οὔ. δῆλον οὖν ὅτι ἕτερον μέν ἐστιν ἐκεῖνο ὅπερ τότε ἀπ-έ-βαλες, ἕτερον δὲ αὖ τόδε ὅπερ οὗτος εὕρηκε. δεῖ σε οὖν τόδε μὲν τούτῳ δοῦναι πάλιν, ἴσως δὲ καὶ ἐκεῖνο ἄλλος τίς ποτε εὑρήσει." καὶ ἐ-κέλευσαν τὸν πένητα τρεῖς ἡμέρας ἀνα-μεῖναι, σκεψόμενον εἴ τις ἄλλος τὸ βαλλάντιον προς-ποιήσεται· μὴ φανέντος δὲ τοῦ τοιούτου, κατ-έχειν αὐτὸ καὶ μηδενὶ ἀφ-ιέναι.

HOW METON SHIRKED HIS DUTY.

151. οἱ Ἀθηναῖοι ἔ-μελλόν ποτε πλεῖν ἐπὶ τὴν Σικελίαν. ἐ-ποιοῦντο οὖν κατάλογον τῶν στρατευσομένων, ἦν δὲ ἐν τῷ καταλόγῳ Μέτων ὁ ἀστρονόμος. οὐ μέντοι πρόθυμος ἦν οὗτος ἐξ-ιέναι, ἀλλ' ἐ-βούλετο μᾶλλον φιλοσοφεῖν ἐν ταῖς Ἀθήναις, καὶ εἰρηνικὸν βίον ἄγειν. ἦλθεν οὖν πολλάκις πρὸς τοὺς ἄρχοντας, βουλόμενος ἀπ-αλλάσσεσθαι τῆς στρατείας ταύτης. οἱ δὲ οὐκ ἐ-πείσθησαν, ἀλλ' ἔ-φασαν δεῖν ἕκαστον τῶν πολιτῶν ὑπουργεῖν τῇ πόλει κατὰ τὸ δυνατὸν, ποιεῖν δὲ ἡδέως ὅσα ἂν ἐκείνη κελεύῃ. αἰσθόμενος οὖν ὁ Μέτων ὅτι οὐκ ἀφ-εθήσεται προς-ε-ποιεῖτο μανίαν, καὶ τὴν ἑαυτοῦ οἰκίαν ἔ-πρησεν. οἱ δὲ ἄρχοντες διὰ ταῦτα ἐξ-απατηθέντες ἀφ-ῆκαν αὐτὸν.

THE PUNISHMENT OF THE SLANDERER.

152. βασιλεύς τις, αἰσθόμενος τοὺς πολίτας λοιδοροῦντας πολλάκις ἀλλήλους, βουλόμενος δὲ παύειν αὐτοὺς τῆς τοιαύτης αἰσχρολογίας, νόμον ἔ-θηκεν αὐτοῖς τοιόνδε. ὁπότε τις ἁλοίη διαβάλλων τὸν πλησίον, ἔ-δει

τοῦτον κατ-ιέναι ἐς τὸ δικαστήριον, βαδίζοντα (ὥσπερ ζῶον τετράπουν) ἐπὶ τῶν ποδῶν καὶ τῶν χειρῶν, λέγειν δὲ ἔπειτα τοιάδε, προς-κυνήσαντα ἐκεῖνον, ὅνπερ ἔ-τυχε λοιδορήσας, "ὦ δέσποτα! ἐπειδὴ ἔ-δοξέ μοι δάκνειν σε, καὶ κυνὶ ἐμαυτὸν ἀφ-ομοιοῦν, ἄξιός εἰμι βαδίζειν τε ὧδε ἐπὶ τεσσάρων σκελῶν, καὶ τὰ ἄλλα πάντα ποιεῖν τε καὶ πάσχειν, ἅπερ καὶ τοῖς κυσὶ προς-ήκει·" τοσαῦτα δὲ εἰρηκότα ἔ-δει αὐτὸν ὑλακτεῖν τρὶς, κυνὸς δίκην, καὶ ἀπ-ελαύνεσθαι ἀπὸ τοῦ δικαστηρίου.

A NOBLE REVENGE.

153. Λυκοῦργος, εἰς τὴν Σπάρτην καινοὺς νόμους εἰς-άγων, οὐκ ἤρεσκε τοῖς πολίταις, ἀλλὰ συ-στάντες ἐπ' αὐτὸν ἀθρόοι ἐ-θορύβουν. ἦν δὲ νεανίσκος τις, ὀνόματι Ἄλκανδρος, ἄλλως μὲν οὐκ ἀφυὴς, ὀξὺς δὲ καὶ θυμοειδής. οὗτος οὖν, ἔχων ἐν τῇ χειρὶ βακτηρίαν, ἐ-πάταξέ τε τὸν νομοθέτην, καὶ τὸν ὀφθαλμὸν ἐξ-έ-κοψεν. ὁ δὲ Λυκοῦργος τῷ μὲν πάθει οὐδαμῶς ἐν-έ-δωκε, παρ-ελθὼν δὲ εἰς τὸν δῆμον, ἔ-δειξε σιγῇ τὸ πρόσωπον τε-τραυματισμένον. αἰδὼς δὲ πολλὴ πάντας ἔ-σχε, τὸ γὰρ θέαμα ἐλεεινὸν ἦν, ὥστε αὐτοὶ τῷ Λυκούργῳ τὸν Ἄλκανδρον παρ-έ-δοσαν. ὁ δὲ ἐκείνους μὲν ἐπ-αινέσας ἀφ-ῆκε, τὸν δὲ Ἄλκανδρον εἰς τὴν ἑαυτοῦ οἰκίαν ἀπ-ήγ-αγεν.

154. ἀφ-ικόμενος δ' οὖν εἰς τὴν οἰκίαν, ὁ μὲν νεανίσκος ᾤετο δεθήσεσθαι εὐθὺς ἐπὶ θανάτῳ. ὁ δὲ Λυκοῦργος οὔτε ἐ-ποίησεν αὐτὸν κακὸν οὐδὲν, οὔτε εἶπεν, ἀλλ' ἑτέραν τινὰ κόλασιν ἐπ-ε-νόησεν. ἀπ-αλλάξας γὰρ τοὺς συνήθεις οἰκέτας πάντας, ἐ-κέλευσε τὸν Ἄλκανδρον παρα-μένειν αὐτῷ καὶ ὑπηρετεῖν. ὁ δὲ θαυμάσας ἐ-ποίησε τὰ προς-τασσόμενα σιωπῇ. ἐπὶ μακρὸν οὖν χρόνον δι-ε-τέλει τῷ Λυκούργῳ παρα-μένων· ὁρῶν δὲ αὐτοῦ τὴν μὲν δίαιταν

αὐστηρὰν οὖσαν, τὸ δὲ ἦθος πάνυ ἥμερον καὶ πρᾶον, πρὸς ταῦτα εἰς μετάνοιαν πολλὴν ἔ-πεσε. τέλος δὲ λυθεὶς τῆς διακονίας ταύτης ἀπ-ῆλθε πάλιν οἰκάδε, καὶ τὸ λοιπὸν ἀεὶ τῷ Λυκούργῳ ἑκὼν ἐ-πειθάρχει. οὕτως οὖν ἐκεῖνος ἐ-κολάσθη, ἄλλο μὲν οὐδὲν πάσχων, ἐκ δὲ αὐθάδους καὶ ἄφρονος νεανίσκου σωφρονέστατος ἀνὴρ γενόμενος.

DIONYSUS AND PENTHEUS.

155. εἰώθει ὁ θεὸς Διόνυσος, δι-ελθὼν τὰς πόλεις τῶν τε Ἑλλήνων καὶ τῶν βαρβάρων, θείαν τινὰ μανίαν ταῖς γυναιξὶν ἐμ-βάλλειν, ὥστε ἔ-δει αὐτὰς κατα-λιπεῖν τὰς οἰκίας, ἐξ-ιούσας δὲ εἰς τὰ ὄρη χορεύειν ἐκεῖ καὶ βακχεύειν. ἀφ-ικόμενος οὖν ἐς Θήβας τὰ αὐτὰ καὶ ἐκεῖ ἐ-ποίει. αἰσθόμενος δὲ ταῦτα Πενθεὺς ὁ τῶν Θηβαίων βασιλεὺς τὸ πρᾶγμα βαρέως ἔ-φερεν. ἐ-βούλετο οὖν καθ-εῖρξαι τὸν θεόν· ὁ δέ, δια-ρ-ρήξας τοὺς δεσμούς, τὰς γυναῖκας αὖθις ἐξ-ήγ-αγεν. ἀπορῶν οὖν πρὸς ταῦτα ὁ Πενθεὺς ἦλθε καὶ αὐτὸς εἰς τὰ ὄρη κατάσκοπος. αἱ δὲ γυναῖκες, ἰδοῦσαι αὐτὸν καὶ μανεῖσαι, δι-έ-σπασαν αὐτὸν κατὰ μέλη· ἐ-νόμισαν γὰρ αὐτὸν εἶναι θηρίον.

THE SYBARITE AT SPARTA.

156. οἱ Συβαρῖται ἐ-λέγοντο πάντων τῶν Ἑλλήνων τρυφερώτατοι εἶναι. τούτων οὖν τις, ἐς τὴν Λακεδαίμονα τύχῃ παρα-γενόμενος, ἐ-ξενίζετο ὑπό τινος τῶν ἐπιχωρίων. ἐ-κλήθη δὲ καὶ ἐς τὸ φειδίτιον, καὶ ἐ-δείπνησε μετὰ τῶν πολιτῶν, κατα-κείμενος (ὥσπερ οἱ ἄλλοι) ἐπὶ ξύλων, καὶ τὸν μέλανα ζωμὸν ἐσθίων. μετὰ δὲ τὸ δεῖπνον ἀνα-στὰς εἶπεν, "ὦ ξένε Λακεδαιμόνιε, πολλάκις μὲν ἤδη πολλῶν ἀκήκοα λεγόντων, ὡς ἀνδρειότατοι πάντων ἀνθρώπων ὑμεῖς ἐστε, ἐπεὶ οὐδὲ ὁ θάνατος ὑμῖν δοκεῖ εἶναι φοβερός. νῦν

δὲ, τῆς ὑμετέρας διαίτης γευσάμενος, τοῦτο ὑμῶν οὐ θαυμάζω. καὶ γὰρ ἄνανδρός τις αἱροῖτο ἂν μᾶλλον ἀπο-θανεῖν, ἢ δια-καρτερεῖν ἀεὶ τὰ τοιαῦτα δεῖπνα ὑπο-μένων!"

THE ARGUMENTATIVE MAN.

157. *ἄνθρωπός τις οὕτω σοφιστικὸς ἦν, ὥστε, ἐρωτηθείς τι, οὐδέποτε ἁπλῶς ἀπ-ε-κρίνετο· ἀλλ' ἐ-πειρᾶτο ἀεὶ καθ-ιστάναι ἐς ἀπορίαν τὸν ἐρωτῶντα καὶ ἐλέγχειν.*

ἔ-τυχε δέ ποτε τύμβον τινὰ οἰκοδομῶν, καὶ προς-ελθὼν αὐτῷ ξένος τις ἠρώτησε, τίνος τὸ μνῆμα εἴη; σοφιζόμενος οὖν ἐκεῖνος κατὰ τὸ εἰωθὸς ἀντ-εῖπεν, "ἐμοῦ." καὶ ὁ ξένος γελάσας, "ὦ ἄνθρωπε," ἔ-φη, "τί λῃρεῖς ὧδε; σὺ μὲν γὰρ ζῇς ἔτι, νεκρου δέ τινος δήπου ὁ τύμβος ἐστί." ὁ δὲ ἄνθρωπος ἀντ-εῖπεν εὐθὺς, "ἀλλ', ὦ ξένε, ἕτοιμός εἰμι ἀπο-φαίνειν σοι, ὅτι ἐμοῦ τὸ μνῆμά ἐστιν. ἐγὼ γὰρ δὴ αὐτὸ ποιῶ. καὶ πᾶν ἔργον ἐκείνου ἐστὶν, ὃς ἂν αὐτὸ ποιῇ."

158. *θαυμάσας δὲ ὁ ξένος ἐπὶ τῇ ἐκείνου φλυαρίᾳ, "ἀλλ', ὦ οὗτος," ἔ-φη, "οὐκ ἐκεῖνό γε ἐ-βουλόμην παρὰ σοῦ μαθεῖν, ἀλλὰ τόδε. εἰπὲ γάρ μοι, τίς ἀνὴρ ἐν ἐκείνῳ τῷ τύμβῳ ταφήσεται;" "ἀλλ' οὐδεὶς ἀνὴρ," ἦ δ' ὃς ὁ ἄνθρωπος. ἀντ-εῖπεν οὖν ὁ ξένος, "ἀλλὰ τίς γυνή;" καὶ ὁ ἄνθρωπος πάλιν ἔ-φη, ὅτι οὐδὲ γυνή ἐστι τὸ ταφησόμενον. ἀπορήσας οὖν ὁ ξένος ἠρώτα, τί δὴ μέλλοι ποτὲ ἐν τῷ τύμβῳ θάπτεσθαι, εἰ μήτε ἀνὴρ, μήτε γυνὴ εἴη; τότε δε βραχύ τι σιωπήσας ὁ ἄνθρωπος ἀντ-εἶπε τέλος, ὅτι τὸ ταφησόμενον γυνή ποτε ἦν, νῦν μέντοι οὐκέτι ἐστὶν, ἀλλὰ τέ-θνηκεν.*

THE TRUE ECONOMY.

159. *ἔ-δει Τιμανδρίδαν τὸν Λακεδαιμόνιον ἀπο-δημεῖν χρόνον τινὰ, καὶ ἐπ-έ-τρεψε τῷ υἱῷ, ἐφήβῳ ὄντι, τὴν*

οἰκίαν πᾶσαν, κελεύων αὐτὸν ταύτην εὖ φυλάσσειν. ὁ μὲν οὖν νεανίσκος τοὐντεῦθεν πολλῇ σπουδῇ ἐ-ποίει τὰ κελευσθέντα, οὐ γὰρ μόνον ἔ-σωζε τὰ τοῦ πατρὸς χρήματα, ἀλλὰ καὶ ἐ-ποίησεν αὐτὰ πλείω. ἐπ-αν-ελθὼν οὖν εκεῖνος ταῦτα οὐκ ἐπ-ήνεσεν, ἀλλ' ἔ-φη, "ὦ παῖ, ἔ-δει σε σώζειν μὲν τὰ ἐμὰ χρήματα, αὐξάνειν δὲ μή, ἐπεὶ ἤδη τότε ἱκανὰ ἦν. πρέπει δὲ τῷ ἐλευθέρῳ ἀνδρὶ μὴ τρυφῇ φθείρειν τὴν οὐσίαν, τὰ δὲ περισσεύοντα αὐτῆς ἀναλίσκειν εἰς τοὺς θεοὺς καὶ τοὺς φίλους, εἶναι δὲ μήτε φιλάργυρον μήτε χρηματοφθορικόν."

MORE HASTE, WORSE SPEED.

160. βασιλεύς τις πόλιν ἐ-πολιόρκει. στρατηγὸς δέ τις, περι-σκεψάμενος τὰ τείχη πανταχόθεν, ἔ-φη δεῖν ὡς τάχιστα προσβολὴν αὐτοῖς ποιεῖσθαι. "οὕτω γὰρ ἀσθενῆ ἐστιν," ἔ-φη, "ὥστε, ταῦτα ποιοῦντες, τὸ χωρίον αὐτίκα καθ-έξομεν· ἢν δὲ ἔτι μέλλωμεν, ἀνάγκη ἔσται πέντε ἢ ἓξ ἡμέρας ἐνθάδε ἀνα-μεῖναι, πρὶν ἂν ταῦτα γένηται." ἀκούσας δὲ ὁ βασιλεύς, ἃ ἐκεῖνος λέγει, ἀντ-εῖπε τοιάδε· "ἀλλ', ὦ φίλε, ἢν ποιώμεθα τὴν ἐμβολήν, δηλονότι ἀπ-ολοῦνται πολλοὶ τῶν ὑπ' ἐμοὶ στρατευομένων. πρὸς ταῦτα οὖν ἀνα-μείνωμεν, ἢν δέῃ, τὰς ἓξ ἡμέρας! ἐμοὶ γὰρ εἷς μόνος ἀνὴρ ἀγαθὸς δοκεῖ ἄξιος εἶναι πλέονος, ἢ ἡμέραι εἴκοσιν, ἢ καὶ ἑκατόν."

THE PHILOSOPHERS PUZZLED.

161. βασιλεύς τις ἀστεῖος, συγ-καλέσας σοφιστὰς πολλούς, ἀπόρημά τι αὐτοῖς προὔ-θηκε τοιόνδε. "ὦ ἄνδρες σοφισταί," φησίν, "ἀπορίαν τινὰ ἔχω θαυμασίαν ὅσην! βουλόμενος δὲ λύσιν αὐτῆς εὑρεῖν ἐνθάδε ὑμᾶς συγ-κέκληκα. τίς γὰρ ὑμῶν ἀγνοεῖ, ὅτι, ἐάν τις ὑδρίαν ἔχων ὕδατος πλήρη ἔπειτα ἐν-θῇ ταύτῃ ἰχθὺν ζῶντα, τὸ

ὕδωρ οὐδέποτε ὑπερ-βήσεται τὸ χεῖλος, ἀλλ' ἐν τῷ ἀγγείῳ ἀεὶ μενεῖ; τὴν δὲ αἰτίαν τούτων οὐδεπώποτε οὐδεὶς εὕρηκεν. δεῖ οὖν ὑμᾶς, εἰ ὡς ἀληθῶς σοφοί ἐστε, ἀπο-δεῖξαι, διὰ τί τάδε οὕτως ἔχει." ταῦτα δὲ πάνυ σεμνῶς λέξας ὁ βασιλεὺς ἀνύποπτος πᾶσιν ἦν. ἀπ-ῆλθον οὖν εἰς τὴν ἑαυτοῦ οἰκίαν ἕκαστος, ὡς τὸ πρᾶγμα σκεψόμενοι.

162. μετὰ δὲ ταῦτα οἱ σοφισταὶ πάντες πολλὰ μὲν περὶ ὕδατος ἀν-ε-ζήτουν, πολλὰ δὲ καὶ περὶ ἰχθύων. ἀλλ' αὐτοῦ τοῦ πράγματος οὐδεὶς πεῖραν ἐ-ποιεῖτο, εἰ ἀληθῆ ὁ βασιλεὺς εἴρηκεν. οἱ μὲν οὖν ἐ-λογίσαντο ὡς τύχῃ ταῦτα γίγνεται, οἱ δὲ ὡς φυσικῇ τινὶ ἀνάγκῃ. καὶ βιβλία πολλὰ περὶ τούτων συν-έ-γραψαν, καὶ ἄλλα τοιαῦτα ἐ-πραγμα-τεύοντο. τέλος δὲ ἀνα-καλεσάμενος αὐτοὺς ὁ βασιλεὺς ἐρωτᾷ, εἰ λύσιν τῆς ἀπορίας τις εὕρηκεν; ἀκούσας δὲ ἃ ἕκαστος λέγει, "ἐγὼ δέ γε," φησὶν, "οἶμαι τὸ αἴτιον τῆς ἀπορίας οὐδὲν ἄλλο εἶναι ἢ τὴν ὑμετέραν ἀμαθίαν." ἅμα δὲ ὑδρίᾳ ἰχθὺν ἐν-θεὶς, ἔ-δειξε πᾶσι τὸ ὕδωρ ὑπερ-βαῖνον.

THE CONCEITED PAINTER.

163. ἦν ποτε ἐν Συρακούσαις ζωγράφος ἔνδοξος, ὀνόματι Μένων. τούτου οὖν ἐ-δεήθη ζωγράφος ἄλλος εἰς τὴν ἑαυτοῦ οἰκίαν εἰς-ιέναι, ἔ-φη γὰρ βούλεσθαι αὐτὸς γραφήν τινα ἐκείνῳ δεικνύναι, ἥνπερ ἀρτίως ἀπο-τε-τέλεκεν. ἀλλ' οὐχ ἥσθη ὁ Μένων τὴν γραφὴν ἰδὼν, ἦν γὰρ δὴ αἰσχίστη· ὅμως δὲ σιγὴν εἶχεν, ἵνα μὴ ἐκεῖνον λυποῖ. ὁ δὲ ἕτερος πρὸς ταῦτα, οἰόμενος τὸν Μένωνα σιγᾶν διὰ θαῦμα καὶ ἡδονὴν, βουλόμενος δὲ ἔτι μᾶλλον ὑπ' ἐκείνου θαυμάζεσθαι, εἶπε σεμνυνόμενος, "ἀλλ', ὦ φίλε, ἐν μιᾷ ἡμέρᾳ ταύτην γέ-γραφα." γελάσας οὖν ὁ Μένων, "θαυ-μάσια," ἔ-φη, "λέγεις. ἐγὼ γὰρ οὐδὲ ἐν πεντήκοντα ἔτεσι δυναίμην ἂν ἀπο-τελεῖν ἔργον αἴσχιον."

THE UNGRATEFUL SON.

164. *ἄνθρωπός τις ἔχων μὲν ἡλικίαν ἦν φιλόπονος, καὶ πρὸς πάντα ἔργα χρήσιμος· κατα-γηράσας δὲ ἤδη, καὶ οὐκέτι δυνάμενος ἐργασίαν οὐδεμίαν ἐργάζεσθαι, παρὰ τῷ υἱῷ αὐτοῦ καὶ τῇ νυῷ τὴν δίαιταν ἔ-σχεν. ὡς δὲ γέρων ὢν καὶ ἀσθενὴς, ὁπότε λάβοι τι βορᾶς, τοῦτο οὐ ῥᾳδίως τῷ στόματι ἐν-ε-τίθει, ἀλλὰ μεθ-ιεὶς αὐτὸ πίπτειν εἴα, ὥστε ταῦτα ποιῶν πολλάκις μὲν τὴν τράπεζαν, πολλάκις δὲ καὶ τὰ ἑαυτοῦ ἱμάτια ἐ-μίαινεν. ἰδόντες δὲ οἱ νέοι, οἷα ἐκεῖνος πράττει, ὑπὲρ μέτρον ἠγανάκτησαν. οὐδὲ γὰρ σιτεῖσθαι μεθ' ἑαυτῶν τὸν γέροντα οὐκέτι εἴων· ἐ-κέλευσαν δὲ αὐτὸν ἐν μυχῷ τινὶ καθήμενον, ἐκεῖ (ἣν βούληται) μιαρὸν εἶναι.*

165. *τοιαῦτα οὖν λέγοντες οἱ νέοι τὸν γέροντα καθ-ύβριζον. καὶ ἅμα οὐκ ἠξίουν τερπνὸν οὐδὲν βρῶμα αὐτῷ παρα-τιθέναι, ἀλλὰ μέλανα ζωμὸν καὶ ἄλλα τοιαῦτα εὐτελῆ ἐδέσματα. ὁ δὲ, ἰδὼν αὐτῶν τὴν ἀχαριστίαν, ἐ-δάκρυε μὲν, ἀλλ' ἐ-ποίει τὰ προς-τασσόμενα. ἔτι δὲ ἀσθενέστερος γενόμενος οὐδὲ τὸ τρύβλιον κατ-έχειν ἐ-δύνατο, ἐξ οὗπερ τὸν ζωμὸν ἔ-πινεν, ἀλλὰ μεθ-ίει καὶ τοῦτο, ὥστε πεσὸν πολλάκις ἐς γῆν τέλος κατ-ε-θραύσθη. ὀργισθέντες οὖν ἔτι μᾶλλον οἱ νέοι, καὶ τῷ γέροντι πολλὰ ὀνειδίσαντες, ξύλινόν τι τρύβλιον ἐ-πρίαντο οὐδὲ ὀβολοῦ ἄξιον. ἔ-δει δὲ ἄρα τὸ λοιπὸν τὸν γέροντα τούτῳ τῷ τρυβλίῳ χρῆσθαι μόνῳ, ὁπότε δειπνοποιοῖτο.*

166. *μετὰ δὲ ταῦτα καθήμενός ποτε ἐν τῷ μυχῷ ὁ γέρων, καὶ τὸν ζωμὸν ἐκ τοῦ τρυβλίου πίνων, εἶδε τὸν υἱϊδοῦν, παιδίον ὄν, πλησίον ἑαυτοῦ παίζοντα. ἔ-τυχε δὲ ὁ παῖς ξύλα τινὰ ἐν ταῖς χερσὶν ἔχων, ἐξ ὧνπερ σκάφιόν τι ἔ-πλασσεν. ὁ δὲ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ οὐ κατ-ε-νόησαν αὐτόν· ἔ-τυχον γὰρ δειπνοῦντες. καλέσας οὖν*

τοῦτον ὁ γέρων, "ὦ παῖ," ἔ-φη, "τί ποιεῖς;" ὁ δὲ παῖς εἶπεν ὑπο-λαβὼν, "ξύλινόν τι τρύβλιον, ὦ πάππε, πλάσσω· ἐξ οὗπερ δεῖ τὸν πατέρα μου καὶ τὴν μητέρα σιτεῖσθαι, ὅταν ἐκεῖνοι μὲν (ὥσπερ σὺ) γηράσωσιν, ἐγὼ δὲ ἐκ παιδὸς ἀνὴρ γένωμαι."

167. ὁ μὲν οὖν γέρων ἀκούσας τὰ ὑπὸ τοῦ παιδὸς εἰρημένα, καὶ με-μνημένος οἷα κακὰ πάσχει, ἐ-δάκρυσεν. αἰσχυνθεὶς δὲ ἐπὶ τούτοις ὁ πατὴρ τοῦ παιδὸς αὐτός τε βραχύ τι ἐ-σιώπησε, καὶ ἐ-σήμηνε τῇ γυναικὶ μηδὲν εἰπεῖν. ἔπειτα δὲ πρὸς τὸν γέροντα σιγῇ προς-ελθὼν ἐξ-ήγαγέ τε αὐτὸν ἐκ τοῦ μυχοῦ, καὶ ἐ-κέλευσε μεθ' ἑαυτοῦ καθ-ῆσθαι δειπνήσοντα. ἅμα δὲ καὶ ᾐτεῖτο παρ' ἐκείνου συγγνώμην, ἔ-φη γὰρ μετα-μέλεσθαι τῆς πρὶν ἀχαριστίας. καὶ ἐκ τούτου οἱ νέοι κακὸν οὐδὲν εἶπον τῷ γέροντι· οὐδὲ εἰ, τῆς βορᾶς πολλάκις πεσούσης, ἥ τε τράπεζα πᾶσα μιαίνοιτο καὶ τὰ τοῦ γέροντος ἱμάτια.

AN INGENIOUS EXCUSE.

168. ὁ τῶν Καρχηδονίων στρατηγὸς Ἀννίβας ἡσσήθη ποτὲ ναυμαχίᾳ ὑπὸ τῶν Ῥωμαίων. φοβούμενος δὲ μὴ διὰ ταῦτα ὑπὸ τῆς γερουσίας τιμωρηθείη, δόλον τινὰ ἐπ-ε-νόησε τοιόνδε. ἀπ-έ-στειλέ τινα τῶν ἑαυτοῦ φίλων ἐς Καρχηδόνα, ἐπι-τάξας κρύβδην οἷα χρὴ ποιεῖν. κατα-πλεύσας οὖν οὗτος ἐς τὴν πόλιν, καὶ πρὸς τὴν γερουσίαν παρ-ελθὼν, ἔ-λεξε τοιάδε. "πέμπει με, ὦ ἄνδρες, ὁ στρατηγὸς Ἀννίβας, ἐρωτήσοντα ὑμᾶς, εἰ κελεύετε αὐτὸν διακοσίαις ναυσὶ ναυμαχῆσαι πρὸς ἑκατὸν εἴκοσι τῶν πολεμίων." ἐπειδὴ δὲ ἀν-ε-βόησαν πάντες, λέγοντες ὅτι κελεύουσι· "τοιγαροῦν," ἔ-φη, "νε-ναυμάχηκεν ἤδη ὁ Ἀννίβας, καὶ ἥσσηται. ἀξιοῖ μέντοι τῆς αἰτίας ἀπο-λελύσθαι, ὑμεῖς γὰρ αὐτοὶ ἐ-κελεύσατε αὐτὸν ναυμαχεῖν."

GENEROSITY OF SCIPIO.

169. ὅτι τοίνυν ὁ Σκιπίων γενναῖος ἀνὴρ ἦν, τί ἂν μεῖζον τεκμήριον εὕροι τις, ἢ τόδε; νικήσας γὰρ Σύφακα τὸν βασιλέα, κακὸν μὲν οὐδὲν αὐτὸν ἐ-ποίησεν. τὸ δὲ πρῶτον, ἰδὼν τὸν ἄνδρα δε-δεμένον μετὰ τὴν νίκην, ἐ-δάκρυσε, λογιζόμενος ὅτι βασιλείαν ὑπὸ πάντων θαυμαζομένην οὗτός ποτε εἶχεν. μετὰ δὲ βραχὺν χρόνον, κρίνας ἀνθρώπινα φρονεῖν ἐν τοῖς εὐτυχήμασιν, ἐπ-έ-ταξεν αὐτὸν λῦσαι. τέλος δὲ καὶ τὴν ἑαυτοῦ σκηνὴν ἐκείνῳ ἀπ-έ-δωκε, συν-ε-χώρησε δὲ αὐτῷ ἀκολούθους τε ἔχειν, καὶ τὰ ἄλλα πάντα, ὅσα βασιλεῖ πρέπει. τηρῶν δὲ αὐτὸν ἐν ἐλευθέρᾳ φυλακῇ φιλανθρώπως ὡμίλει, καὶ πολλάκις αὐτὸν ἐν τῷ στρατηγίῳ εἱστίασεν.

THE CAT AND THE FOX.

170. αἴλουρος ἀλώπεκι ἐπι-τυχὼν χαίρειν ἐ-κέλευσε. καὶ διαλόγου τινὸς ἐν αὐτοῖς γενομένου ἡ ἀλώπηξ ἐπὶ τῇ ἑαυτῆς σοφίᾳ ἐ-σεμνύνετο. "ἐγὼ γάρ," ἔ-φη, "ὦ δαιμόνιε, πλέον ἢ μυρίους δόλους ἔχω, δι' ὧνπερ τροφήν τε εὑρίσκω, καὶ τοὺς ἐχθροὺς λανθάνω ἀπατῶν. ἀλλ' εἰπέ μοι σύ, πόσων τεχνῶν αὐτὸς ἔμπειρος εἶ; εὖ γὰρ οἶδ' ὅτι ταύταις σου ὑπερ-έχω, ὥσπερ καὶ τῶν ἄλλων θηρίων πάντων." ἀκούσας δὲ οἷα ἡ ἀλώπηξ λέγει, ὁ αἴλουρος ἀντ-εῖπεν ἐρυθριάσας, ὅτι τῆς τοιαύτης σοφίας ἄμοιρός ἐστιν, ἀλλὰ μίαν μόνην τέχνην ἐπίσταται. "ὅταν γάρ," ἔ-φη, "ἐχθρούς τινας κατα-νοῶ πλησίον ὄντας, εἰς δένδρον τι ἢ τεῖχος ἀνα-βαίνων σώζομαι."

171. ἡ δὲ ἀλώπηξ ἀκούσασα, "νὴ Δία!" ἔ-φη, "φορτική γε ἡ σὴ σοφία ἐστὶ, καὶ οὐδενὸς ἀξία. ἢν δέ μοί τι παρα-μένῃς, ταχέως πάντων αἰλούρων σοφώτατος ἔσει. διδάξω γάρ σε κλέπτειν τε, καὶ τοῦτο ποιοῦντα μηδέποτε

φωρᾶσθαι· καὶ τῶν ἄλλων ἐπιστημῶν πασῶν σοι μεταδώσω, ὅσαςπερ καὶ αὐτὴ με-μάθηκα." περιχαρὴς οὖν ἐ-γένετο ὁ αἴλουρος, καὶ ἑτοῖμος ἦν πάντα ποιεῖν, ἵνα τῆς τοιαύτης σοφίας μετ-έχῃ. δια-λεγόμενοι δὲ περὶ τούτων κυσί τισι καὶ θηρευταῖς ἀπροσδοκήτως ἐπ-ε-γένοντο. ὁ δὲ αἴλουρος εὐθὺς εἰς δένδρον ἀνα-βὰς ἐ-κέλευσε τὴν ἀλώπεκα τοῖς μυρίοις δόλοις νῦν δὴ χρήσασθαι. ἡ δὲ, ἁλοῦσα ἤδη, ὑπὸ τῶν κυνῶν ἐ-σπαράσσετο.

THE STOLEN HORSE.

172. γεωργοῦ τινὸς ἵππον φὼρ νύκτωρ ἔ-κλεψε. τέως μὲν οὖν τοῦτον ὁ δεσπότης ἐ-ζήτει, εὑρεῖν δὲ οὐ δυνάμενος ᾔει πρὸς ἄστυ, ἐν νῷ ἔχων ἄλλον ἐκεῖ πρίασθαι. ἀφικόμενος δὲ ἐκεῖσε, καὶ εἰς τὴν ἀγορὰν εἰς-ελθὼν, εἶδε τὸν ἑαυτοῦ ἵππον τὸν κλεφθέντα ἑστηκότα μετ' ἄλλων πολλῶν ἐπὶ πωλήσει. αἰσθόμενος δὲ εὐθὺς ἀπ-άξειν αὐτὸν ἔ-μελλεν· ὁ δὲ φὼρ οὐκ εἴα, ἔ-φασκε γὰρ ἑαυτοῦ δὴ τὸν ἵππον εἶναι. ἀντι-λέγοντος δὲ τοῦ γεωργοῦ, οὐδὲν ἧσσον ὁ φὼρ δι-ισχυρίζετο, λέγων ὡς θρέψας ἐκ νέου τὸν ἵππον τοῦτον αὐτὸς πάλαι κέ-κτηται. ἐ-κέλευσεν οὖν ἐκεῖνον δοῦναι πρῶτον ἀργύριον, εἰ τὸν ἵππον κομίζεσθαι θέλει.

173. ἀκούσας δὲ ταῦτα ὁ γεωργὸς, καὶ τὴν ἀναίδειαν τοῦ ἀνθρώπου θαυμάζων, πρῶτον μὲν βραχύ τι ἐ-σιώπα. ἔπειτα δὲ, βουλόμενος ἐπι-δεικνύναι αὐτὸν ψευδῆ, ἐξ-εῦρε μηχανήν τινα σοφωτάτην, ὅπως ταῦτα γένοιτο. ἦν δὲ ἡ μηχανὴ τοιάδε. κρύψας ὁ γεωργὸς ἀμφοῖν ταῖν χεροῖν τοὺς τοῦ ἵππου ὀφθαλμοὺς τοιάδε ἔ-λεξεν. "ἀλλ', ὦ δαιμόνιε, εἰ σὸς δὴ ὁ ἵππος ἐστὶν, σὺ δὲ ἄρα αὐτὸν ἐκ νέου θρέψας ἔχεις, τόδε μοι ὃ ἐρωτήσω πάνυ ῥᾳδίως ἀποκρινεῖ. εἰπὲ γάρ μοι πότερον τῶν ὀφθαλμῶν ὁ ἵππος τυφλός ἐστιν;" ὁ δὲ φὼρ πρὸς ταῦτα ἐπί τινα χρόνον ἠπόρει, ἔ-φη δὲ τέλος ὅτι τὸν δεξιόν.

174. ἐνταῦθα δὲ ἀνα-καλύψας ὁ γεωργὸς τὸν δεξιὸν ὀφθαλμὸν ἔ-δειξεν αὐτὸν ὑγιᾶ ὄντα. ὁ δὲ φὼρ οὐδ' ὁτιοῦν αἰσχυνθεὶς, "γέλοιόν μου," ἔ-φη, "τὸ ἁμάρτημά ἐστιν. οὐ γὰρ τὸν δεξιὸν ἐ-βουλόμην σοι λέγειν, ἀλλὰ τὸν ἀριστερόν." μειδιάσας οὖν ὁ γεωργὸς κατὰ τὸν αὐτὸν τρόπον εὐθὺς ἔ-δειξεν, ὅτι οὐδὲ οὗτος τυφλός εστιν. ἰδόντες δὲ ταῦτα οἱ περι-στάντες εἰκότως ἐπ-ε-θορύβουν. ἐ-φαίνετο γὰρ πᾶσιν ὁ φὼρ ἐ-ψευσμένος· ὥστε οὐκ ἔχων ὅτι πρὸς ταῦτα ἀντ-είποι, φοβούμενος δὲ μὴ ἀναγκάζοιτο τῆς κλοπῆς δίκην δοῦναι, ᾤχετο εὐθὺς ἀπο-δράς. ὁ δὲ γεωργὸς ἐκείνου μὲν ἠμέλησε, τὸν δὲ ἵππον εἰς τὴν ἑαυτοῦ οἰκίαν ἡσυχῇ ἀπ-ήγαγεν.

XERXES AND THE OIL-JAR.

175. Ξέρξης ἀνα-ρ-ρήξας ποτὲ τὸ μνῆμα ἀρχαίου τινὸς βασιλέως εὗρεν ἐκεῖ ἀγγεῖον ἐλαίου καὶ τὸν νεκρὸν κείμενον ἐν τῷ ἐλαίῳ. τὸ δὲ ἀγγεῖον οὐκ ἐ-πε-πλήρωτο, δι-έ-λιπε δὲ τὸ ἔλαιον τέσσαρας μάλιστα δακτύλους ἀπὸ τοῦ χείλους. παρ-έ-κειτο δὲ τῷ ἀγγείῳ στήλη βραχεῖα, ἐν ᾗπερ ἐν-ε-γέ-γραπτο τοιάδε. "ἐὰν ἀνοίξας τις τὸ μνῆμα εἶτα μὴ ἀνα-πληρώσῃ τὸ ἀγγεῖον, κακόν τι πείσεται ὁ τοιοῦτος." δείσας οὖν ὁ Ξέρξης ἐ-κέλευσε τοὺς θεράποντας ἐπι-χεῖν πολὺ ἔλαιον εἰς τὸ ἀγγεῖον, ἀλλ' ὅμως ἐκεῖνο οὐκ ἐ-πε-πλήρωτο. πάλιν οὖν ἐ-κέλευσεν αὐτοὺς ἐπι-χεῖν, ἀλλ' οὐδὲ τότε οὐδὲν ἤνυτον, τὸ γὰρ ἔλαιον οὐδὲν ἧσσον δι-έ-λιπεν ἀπὸ τοῦ χείλους.

176. ἀναλώσας δὲ μάτην ἔλαιον πολὺ ὁ Ξέρξης ἐς ἀπορίαν κατ-έ-στη. περίφοβος γὰρ ἦν περὶ τῶν ἐν τῇ στήλῃ ἐγ-γε-γραμμένων, οὐ μέντοι ἐ-δύνατο τὸ παράπαν ἀνα-πληρῶσαι τὸ ἀγγεῖον. ἐ-κέλευσεν οὖν τοὺς θεράποντας κατα-κλείειν πάλιν τὸν τύμβον, καὶ ἀπ-ῄει πρὸς τὰ

βασίλεια λυπούμενος. ἡ δὲ στήλη οὐκ ἐ-ψεύσατο λέγουσα δεῖν ἐκεῖνον πάσχειν κακά. ἐπεὶ ὕστερόν γε συν-αθροίσας ἑβδομήκοντα μυριάδας ἀνθρώπων ἐ-στράτευσεν ἐπὶ τοὺς Ἕλληνας, βουλόμενος κατα-στῆσαι αὐτοὺς ἐς δουλείαν. τέως μὲν οὖν τὰ περὶ τὴν στρατιὰν εὖ πρου-χώρει, ἔπειτα δὲ ναυμαχίαν ποιησάμενος ἐν τῇ Σαλαμῖνι καὶ ἡσσηθεὶς οἴκαδε κατ-έ-φυγεν. ἀπο-σφαγεὶς δὲ ἐκεῖ ἐν τῇ εὐνῇ ἀπ-έ-θανεν.

AN ORIGINAL DEFENCE.

177. μῶρός τις κρατῆρα κλέψας ἐκ πανδοκείου ἐν αὐτῷ τῷ ἔργῳ ἐ-φωράθη. διὰ ταῦτα οὖν συλ-ληφθεὶς ὑπὸ τῶν τοξοτῶν ἀπ-ήχθη πρὸς τοὺς ἄρχοντας. γενόμενος δὲ πλησίον ἤδη τοῦ δικαστηρίου, εἶδεν ἐξ-ιόντα ἄνθρωπόν τινα, γνώριμον ἑαυτῷ ὄντα. καὶ προς-δραμὼν εὐθὺς πρὸς τοῦτον δι-ηγήσατο αὐτῷ τὸ πρᾶγμα. ὁ δὲ ἀντ-εῖπεν, "ὦ φίλε, συν-έ-βη ἀρτίως καὶ ἐμοὶ παραπλησίον τι τούτων πάσχειν. βοῦν γὰρ κλέψας διὰ ταῦτα προς-ε-κλήθην πρὸς τοὺς ἄρχοντας. ἀλλ' ὅμως κακὸν οὐδὲν ἔ-παθον· πλάσας γὰρ γενναῖόν τι ψεῦδος, ἔ-πεισα αὐτοὺς ὥστε τὴν δίκην δια-γράφειν." βοῶν οὖν ὁ μῶρος, "ὦ φίλτατε," ἔ-φη, "τί ποτε ἦν ἐκεῖνο τὸ ψεῦδος; βούλομαι γὰρ καὶ αὐτὸς, εἰ δυνήσομαι, ὅμοια προφασιζόμενος ἀπο-λύεσθαι."

178. ἀντ-εῖπεν οὖν ἐκεῖνος, ὅτι ἀπ-αχθεὶς πρὸς τοὺς ἄρχοντας ἀτρεμίαν ἔ-σχεν, ἵνα δοκοῖ ἄδικον μηδὲν ἑαυτῷ συν-ειδώς. ἱστορηθεὶς δὲ περὶ τοῦ πράγματος, ἔ-φασκε τὸν βοῦν ἑαυτοῦ εἶναι, ἐκ-τετροφέναι γὰρ αὐτὸν ἐκ μικροῦ μόσχου. πειθόμενοι δὲ ἄρα αὐτῷ οἱ ἄρχοντες εὐθὺς ἀπ-ε-ψηφίσαντο. ταῦτα οὖν ἀκούσας ὁ μῶρος ἐ-γένετο περιχαρὴς, καὶ εἰς-ελθὼν εἰς τὸ δικαστήριον ἐ-κάθητο, ὁ δὲ διώκων δι-εξ-ῄει τὴν αἰτίαν. ἔπειτα δὲ ἐκεῖνος, "ὦ δαιμόνιε," ἔ-φη, "τί φλυαρεῖς ὧδε; εὖ γὰρ δήπου οἶσθα,

ὅτι ἐμὸς ὁ κρατήρ ἐστιν, ἐγὼ δὲ ἐκ μικρᾶς κύλικος αὐτὸν ἐξ-έ-θρεψα." ταῦτα δὲ λέγων οὐκ ἔ-πεισε τοὺς ἄρχοντας, ἀλλὰ κατ-ε-ψηφίσαντο αὐτοῦ κλοπήν.

WHITE CROWS.

179. *ὁ τῶν Φοινίκων βασιλεὺς Φάλανθος ὑπ' Ἰφίκλου τινός ποτε ἐ-πολιορκεῖτο. πολὺν οὖν χρόνον τούτῳ ἀντ-εῖχε, τό τε γὰρ χωρίον ἦν ἰσχυρὸν, καὶ τὰ ἐν αὐτῷ σιτία ἱκανὰ πρὸς πολλοὺς μῆνας, ὥστε ἐ-ποιεῖτο ἐν ὀλιγωρίᾳ τὴν πολιορκίαν. ἅμα δὲ καὶ χρησμός τις ἦν, ὡς οἱ Φοίνικες ἕξουσι τὴν χώραν ἕως ἂν κόρακες γένωνται λευκοί. ἤλπιζεν οὖν εἰκότως οὐδέποτε τοῦτο ἔσεσθαι, ὁ δὲ Ἴφικλος μαθὼν τὸν χρησμὸν ἐ-μηχανήσατο τοιάδε. θηρεύσας κόρακάς τινας, καὶ γύψῳ ἀλείψας, ἀφ-ῆκεν αὐτοὺς ὥστε πέτεσθαι εἰς τὴν πόλιν. ἰδόντες οὖν τοὺς κόρακας οἱ Φοίνικες ἠθύμησαν, καὶ τὴν πόλιν παρα-δόντες ἐξ-ῆλθον ὑπόσπονδοι.*

THE WONDERFUL OLD MEN.

180. *Βοιωτοί τινες ἔ-τυχόν ποτε δια-λεγόμενοι περὶ τοῦ γήρως, ὡς οὐχ ὁμοίως πᾶσιν ἐπ-έρχεται, ἀλλ' οἱ μὲν κατα-γηράσκουσιν ἤδη πρὶν πεντήκοντα ἐτῶν εἶναι, οἱ δὲ αὖ, ἑξήκοντα καὶ ἑβδομήκοντα ἔτη τελέσαντες, δοκοῦσιν ἔτι ἡλικίαν ἔχειν. τεκμήριον δὲ τούτων τις ἀπ-έ-δειξε, φάσκων αὐτὸς ἑ-ορακέναι γέροντά τινα Θηβαῖον, ἔχοντα τὴν τοῦ σώματος ῥώμην τοσαύτην, ὥστε ἐνενήκοντα ἐτῶν ὢν ἐ-δύνατο πολλὰ στάδια ἄνευ βακτηρίας βαδίζειν. "πρὸς δὲ τούτοις," ἔ-φη, "ὁπότε ἐς συμπόσιόν τι παρα-καλοῖτο, ὑστέρει οὐδενὸς τῶν νεωτέρων τῇ τοῦ δείπνου τέρψει. εἰ δὲ καὶ πολὺν οἶνον πιὼν τύχοι, οὐδὲν κακὸν ἔ-πασχεν, ἀλλὰ, μεθυσθέντων τῶν ἄλλων, νήφων μόνος οἴκαδε ἀπ-ῄει."*

181. *ἀκουσάντες δὲ τὰ περὶ τοῦ γέροντος, βραχύ μέν τι πάντες ἐ-σιώπησαν θαυμάζοντες, μετὰ δὲ ταῦτα ἄλλος τις Βοιωτὸς βουλόμενος ἐκεῖνον ὑπερ-βάλλειν ἔ-λεξε τοιάδε. "ἀλλ', ὦ φίλτατε, ὁμολογῶ ὅτι ἐκεῖνα, ἃ σὺ εἴρηκας, ἄξιά ἐστι θαυμάζεσθαι. οὐ μὴν ἀλλὰ τόδε μοι δοκεῖ εἶναι θαυμασιώτερον, ὃ περὶ τοῦ ἐμοῦ πατρὸς ἔχω ὑμῖν εἰπεῖν. καὶ γὰρ ἐκεῖνος, ὅσον χρόνον ἔ-ζη, ἐ-βάδιζέ τε ἀεὶ ἄνευ βακτηρίας, καὶ τὰ ἄλλα πάντα ἐ-ποίει, ὅσα περὶ τοῦ γέροντος τοῦ Θηβαίου ὑπὸ σοῦ ἤδη εἴρηται. ἦν δὲ ἂν ἤδη ἐκεῖνος ἑκατὸν μάλιστα ἐτῶν, εἰ ἔτι ἔ-ζη. ἀλλὰ τεσσαράκοντα ἔτη ἐστὶν, ἐξ οὗ τέ-θνηκεν."*

THE WATER OF IMMORTALITY.

182. *βασιλεύς τις ἄλλως τε φιλόδωρος ἦν, καὶ μάλιστα πρὸς τοὺς φιλοσόφους. ἀλλ' οὐκ εὖ ἐπιστάμενος διακρίνειν τοὺς ὡς ἀληθῶς σοφοὺς ὄντας, καὶ τοὺς δοκοῦντας μὲν εἶναι τοιούτους, ὄντας δὲ μὴ, διὰ ταῦτα ὑπ' ἀλαζόνων πολλάκις ἐξ-ηπατήθη. πρὸς τοῦτον οὖν ποτε προς-ελθὼν ἀγύρτης τις, καὶ βουλόμενός τι παρ' αὐτοῦ λαμβάνειν, ἐ-δίδου αὐτῷ πῶμα, φάσκων ὡς ἐὰν γεύσηταί τις τούτου, ἀθάνατος εὐθὺς γενήσεται. ὁ δὲ βασιλεὺς δεξάμενος τὸ πῶμα ἔ-μελλε πίνειν, οἰόμενος τὸν ἄνθρωπον ἀληθῆ λέγειν. αἰσθόμενος δὲ ταῦτα συνετός τις βουλευτὴς, καὶ τὴν κύλικα ἐκ τῆς τοῦ ἀγύρτου χειρὸς ἀπροσδοκήτως ἀν-αρπάσας, αὐτὸς τοῦ πώματος ἀπ-ε-γεύσατο.*

183. *ἐ-χαλεπάνθη οὖν εἰκότως ὁ βασιλεὺς, καὶ τοὺς δορυφόρους ἐ-κέλευσε δῆσαι τὸν βουλευτὴν ἵνα θανατωθείη. ὁ δὲ ἔ-φη, "ὦ βασιλεῦ, εἰ μὲν ἀληθῆ οὗτος λέγει, οὐ δυνήσει ἐμὲ ἀπο-κτείνειν, ἐπεὶ γέ-γευμαι ἤδη τοῦ πώματος· εἰ δὲ μὴ, ὠφέλιμόν σοι τοῦτο πε-ποίηκα, διὰ γὰρ τὴν ἐμὴν τελευτὴν ἐλεγχθήσεταί σοι οὗτος ὡς βούλεταί σε φενακί-*

ζειν. εἰ δὲ βούλει ταῦτα ἀκριβῶς ἐξετάζειν, δεῖ σε πρῶτον μὲν κελεύειν τὸν ἄνθρωπον τοῦδε τοῦ πώματος τὸ λοιπὸν κατα-πιεῖν, ἔπειτα δὲ κώνειον αὐτῷ δοῦναι εἰς ἀπόπειραν. εἰ γὰρ ἀληθῆ δὴ εἴρηκε, κακὸν οὐδὲν πείσεται ταῦτα δρῶν· εἰ δὲ αὖ ψεύδεται, δίκαιός ἐστιν οὕτω κολάζεσθαι.

184. ὁ μὲν οὖν βουλευτὴς τοσαῦτα εἶπεν, ἀρεσθεὶς δὲ ἄρα τούτοις ὁ βασιλεύς, καὶ τὸν ἀγύρτην προς-καλεσάμενος, ἐ-κέλευσεν αὐτὸν δρᾶν οἷα ἐκεῖνος εἴρηκεν. ὁ δὲ οὐκ ἐ-τόλμα, ἀλλὰ τὸν δήμιον ἰδὼν τρίβοντα ἤδη τὸ κώνειον, ἤλλαξέ τε τὸ χρῶμα, καὶ περίφοβος γενόμενος προς-έ-πεσε πρὸς τὰ τοῦ βασιλέως γόνατα τὴν ὀργὴν παρ-αιτούμενος. "ὁμολογῶ γάρ," ἔ-φη, "ὦ βασιλεῦ, ὅτι ἐ-ψευσάμην λέγων τὸ πῶμα ἔχειν δύναμιν τοιαύτην. οὐ μέντοι κακὸν οὐδὲν φάρμακον ἐν αὐτῷ ἐστιν, οὐδὲ ἄλλο οὐδὲν πλὴν ὕδωρ καί τι καὶ οἴνου." τοσαῦτα οὖν ἀκούσας ὁ βασιλεὺς ἀπ-έ-λυσε μὲν τὸν βουλευτὴν, τὸν δὲ ἀγύρτην δήσας ἐ-κόλασεν.

A RETRACTATION.

185. ἐ-νόμιζον ἐκ παλαιοῦ οἱ Ἀθηναῖοι, ὁπότε φαίνοιτό τις ἐκπρεπέστατα τὴν πόλιν εὐεργετήσας, δεῖπνον τούτῳ καθ' ἡμέραν παρ-έχειν ἀπὸ κοινοῦ. καὶ μεγίστη τῶν ἐν τῇ πόλει τιμῶν αὕτη ἦν· ἐ-καλεῖτο δὲ τὸ δεῖπνον "σίτησις ἐν Πρυτανείῳ."

ἦν δέ ποτε ἐν ταῖς Ἀθήναις σκυτοτόμος τις χαῦνος καὶ ἠλίθιος. οὗτος οὖν, ἐπι-τελέσας κατὰ τύχην τῇ πόλει μικράν τινα λειτουργίαν, ἐπὶ τούτοις τοσοῦτον ἐ-μεγαλύνετο, ὥστε παρ-ιὼν ἐς τὴν ἐκκλησίαν σίτησιν ᾔτει. ἀκούσας δὲ ταῦτα Τίμων τις, καὶ δυσχεράνας τῇ τοῦ ἀνθρώπου ἀναιδείᾳ, "τί δέ;" ἔ-φη, "ἆρα σίτησιν σὺ ἐν Πρυτανείῳ αἰτεῖς, ὃς οὐδὲ ὑσὶν ἐν χοιρο-κομείῳ ἄξιος εἶ παρασιτεῖν;"

186. ἀνα-πηδήσας οὖν αὖθις ὁ σκυτοτόμος ἐ-βόησε τοιάδε, "ὦ ἄνδρες Ἀθηναῖοι, μαρτύρομαι ὑμᾶς πάντας, ὡς ἀδίκως καὶ ψευδῶς ἐκεῖνα εἴρηται. δέομαι δὲ ὑμῶν μὴ περιορᾶν με ὧδε προπηλακισθέντα. δεινὸν γάρ ἐστιν, εἰ τοὺς τὴν πόλιν εὐεργετήσαντας χαίρων τις λοιδορήσει." ὁ δὲ Τίμων μειδιάσας μάλα ἡδέως, "νὴ τὸν Δία," ἔ-φη, "ὦ ἄνθρωπε, δικαίως γε ἐμοὶ ἐγ-καλεῖς ὡς ἀδικηθείς· ἡμάρτηκα γὰρ, (ὡς ἔοικεν), ἐκεῖνα λέγων, ἀξιῶ δὲ ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, συγγνώμην μοι τῆς ἁμαρτίας ἔχειν. ὁμολογῶ γὰρ τὸν σκυτοτόμον τοῦτον, ὡς καὶ αὐτός φησιν, οὐκ ἀνάξιον εἶναι, ἀλλὰ πάντων ἀνθρώπων μάλιστα ἄξιον, ὑσὶν ἐν χοιροκομείῳ παρασιτεῖν."

OLD WINE.

187. πλούσιός τις ἄνθρωπος ὀνόματι Χάρης δίκην φεύγων ἐ-ταράχθη. ἠπόρει γὰρ τί ποτε ποιῶν δια-σωθήσεται, ἐπεὶ ἥ τε κατηγορία ἀληθὴς ἦν, καὶ αὐτὸς οὐκ ἔμπειρος τῆς δικανικῆς λέξεως. ἔ-πεισεν οὖν ῥήτορά τινα ἔντιμον ὥστε εἰπεῖν ὑπὲρ ἑαυτοῦ παρὰ τοῖς δικασταῖς. τοῦ δὲ ῥήτορος τὸ ἔργον εὖ τελέσαντος, ἴσαι ἐ-γένοντο αἱ ψῆφοι, καὶ ὁ Χάρης διὰ ταῦτα ἀπ-ε-λύθη. ἔ-δοξεν οὖν αὐτῷ χαρίζεσθαί τι τῷ συνηγορήσαντι. ὡς δὲ γλίσχρος καὶ ἀνελεύθερος φύσει ὤν, πολυτελὲς μὲν οὐδὲν ἐ-δωρήσατο, ἀλλὰ πριάμενος οὐ πολλῶν ὀβολῶν μικρόν τι κεράμιον οἴνου ἔ-πεμψε δοῦλον λέγοντα τοιάδε. "ὁ Χάρης ἕνεκα τῆς σῆς εὐεργεσίας τοῦτό σοι δωρεῖται."

188. τῇ δὲ ὑστεραίᾳ ὁ πλούσιος τὸν ῥήτορα εἶδεν εἰς τὴν ἀγορὰν τύχῃ κατα-βαίνοντα. προς-ελθὼν οὖν αὐτῷ ἤρξατο ἐπὶ τῇ ἑαυτοῦ ἐλευθεριότητι πολλὰ σεμνύνεσθαι. "οἱ μὲν πολλοὶ γὰρ," ἔ-φη, "δοκοῦσιν ἑαυτοῖς εἶναι πάνυ ἐλευθέριοι, ἐὰν φαῦλά τινα δῶρα τοῖς φίλοις χαρίζωνται.

ἐγὼ δὲ δῆλός εἰμι ἕτερα τούτων φρονῶν. ἐπεὶ καὶ σοὶ ἄρτι βουλόμενός τι χαρίζεσθαι φορτικὸν μὲν οὐδὲν ἔ-πεμψα, ἀλλ' οἶνον ἡδύν τε καὶ παλαιόν. ἤδη γὰρ εἴκοσιν ἔτη ἐν τῷ κεραμίῳ μοι κατ-ε-σφράγισται." γελάσας δὲ πρὸς ταῦτα ὁ ῥήτωρ, "θαυμάσια," ἔ-φη, "ὦ φίλε, λέγεις, εἰ ὁ οἶνός ἐστι τηλικοῦτος. ἐγὼ γάρ, ἰδὼν αὐτοῦ τὴν μικρότητα, νεογενῆ εἶναι ᾤμην."

A PARENT NOT A NECESSITY.

189. οἱ μὲν πολλοὶ οἴοιντο ἂν ἀδύνατον εἶναι, μὴ προ-γεγονότος πατρὸς, παῖδα γίγνεσθαι. ἦν δέ ποτε ἐν Συρακούσαις νεανίσκος τις, ᾧπερ (ὡς ἔοικε) ταῦτα οὐκ ἔ-δοξεν. λέγεται γὰρ ὡς ἀναλώσας οὗτος χρήματα πολλὰ εἰς τρυφὴν καὶ ἀκολασίαν ἐ-δανείσατο παρὰ τραπεζίτου ἄλλα τρία τάλαντα, βουλόμενος καὶ ταῦτα εἰς τὰ αὐτὰ δαπανᾶν. ἀκούσας δὲ ταῦτα ὁ πατὴρ αὐτοῦ ἠγανάκτησε, καὶ προς-καλέσας τὸν παῖδα ἤρξατο αὐτὸν νουθετεῖν, λέγων ὡς κατα-στήσεται ταχέως εἰς πενίαν, ἐὰν διατελῇ δαπανηρὸς ὤν. ἀντ-εῖπε δὲ ὁ νεανίσκος ὡς αὐτὸς μὲν οὐ πολυδάπανός ἐστιν, ἐκεῖνος δὲ γλίσχρος ἐπεὶ οὐκ ἐᾷ τὸν υἱὸν ζῆν κατὰ τοὺς καλοὺς κἀγαθούς.

190. πρὸς ταῦτα οὖν ὁ πατὴρ εἰκότως ἐ-λυπήθη, καὶ εἰς δάκρυα πεσὼν, "ὦ παῖ," ἔ-φη, "ὡς ἀχάριστος εἶ σὺ, καὶ ἀγνώμων! οὐδενὶ γὰρ οὐδεπώποτε πατὴρ ἐ-γένετο ἐλευθεριώτερος, ἢ ἐγώ σοι." ὁ δὲ παῖς οὐδ' ὁτιοῦν αἰσχυν-θεὶς ἀντ-εῖπεν εὐθὺς, "εὖ γε δὴ σὺ ἐμοὶ, ὦ κάκιστε, ταῦτα ἐπι-τιμᾷς, δι' ὅν γε τόδε τὸ χρέος ὀφείλω. εἰ γὰρ χρημά-των ἅλις εἶχον, οὐκ ἂν ἐκεῖνα ἐ-δανεισάμην· διὰ δέ σε οὐκ ἔχω. εἰ μὲν γὰρ σὺ μήποτε ἔ-φυς, τῶν τοῦ πάππου χρημάτων ἦν ἂν ἐγὼ κληρονόμος. νῦν δὲ ἐν μέσῳ σὺ ἐκ περισσοῦ γεγονὼς ἐκείνης τῆς κληρονομίας ἐμὲ ἀδίκως ἀπ-ε-στέρηκας."

THE GENEROUS SOLDIER.

191. *ἐ-γένετό ποτε ἐν τῇ Σικελίᾳ μάχη τῶν Ὑβλαίων πρὸς τοὺς Ἰνησσαίους. νικήσαντες δὲ οἱ Ἰνησσαῖοι ἐ-τρέψαν τε τοὺς πολεμίους, καὶ τροπαῖον ἔ-στησαν. στρατιώτης δέ τις Ἰνησσαῖος δι' ἡμέρας ὅλης μαχεσάμενος εἶτα ἐ-δίψησεν. εὑρὼν δὲ παρὰ νεκρῷ τινὶ ἀσκὸν οἴνου κείμενον ἥσθη τε καὶ πίεσθαι ἔ-μελλεν. τότε δὲ Ὑβλαῖόν τινα κείμενον κατ-ιδὼν, ὃς ἐν τῇ μάχῃ τραυματισθεὶς μόλις ἤδη ἀν-ε-βιώσκετο, τούτῳ τὸν οἶνον ἐλεήσας ἐ-δίδου. ἐκεῖνος δὲ, (ἔ-τυχε γὰρ ἀγνώμων τις ὢν καὶ ἀχάριστος), σπασάμενος λάθρᾳ ἐγχειρίδιον, ὅπερ εἶχεν ὑπὸ μάλης, τὸν εὐεργέτην παίσειν ἔ-μελλεν. αἰσθόμενος δὲ ὁ Ἰνησσαῖος ἀν-ε-πήδησεν εὐθὺς, καὶ τὸ ἐγχειρίδιον ἐκ τῶν ἐκείνου χειρῶν ἐξ-έ-κρουσεν.*

192. *ὁ μὲν οὖν Ὑβλαῖος ἔ-κειτο θάνατον προς-δοκῶν· στὰς δὲ ὑπὲρ αὐτοῦ ὁ Ἰνησσαῖος, καὶ τὸ ξίφος σπασάμενος, τιμωρίαν λήψεσθαι ἔ-μελλεν. ἰδὼν δὲ τὸν ἄνθρωπον δεινῶς τε-τραυματισμένον, καὶ οὐκέτι οἷόν τε ὄντα ἀμύνεσθαι, μετ-ε-στράφη τε ἀπ' αὐτοῦ, καὶ ἄλλο μὲν οὐδὲν ἐ-ποίησε, τοῦ δὲ οἴνου ἔ-πιε τὸ ἥμισυ. ἔπειτα δὲ τῷ τραυματισθέντι αὖθις ἐπ-ελθὼν, τοιάδε ἔ-λεξε. "ὦ δαιμόνιε, εἰ μὲν φιλικῶς τόδε τὸ δῶρον ἐ-δέξω, ἔ-δωκα ἂν σοι τὸν ἀσκὸν ὅλον. νῦν δὲ ἐπειδὴ οὐ θέλεις ὑπ' ἐμοῦ εὐεργετεῖσθαι, ἅλις σοι ἔσται τὸ ἥμισυ." τοσαῦτα δὲ εἰρηκὼς, καὶ τὸ ξίφος κρυψάμενος, τὸν λοιπὸν τοῦ οἴνου τῷ Ὑβλαίῳ ἔ-δωκεν.*

THE DUEL.

193. *Τίμων, περὶ οὗπερ ἤδη εἴρηται, κατ-ηγόρει ποτὲ παρὰ τοῖς ἄρχουσι στρατηγοῦ τινος, ὡς τὰ τῆς πόλεως*

προ-δέ-δωκε δειλίᾳ. τῶν δὲ μαρτυριῶν οὐχ ἱκανῶν εἶναι δοκουσῶν, ἐκεῖνος ἀπ-ε-λύθη.

τῇ δὲ ὑστεραίᾳ ἀφ-ικόμενος ὁ στρατηγὸς εἰς τὴν οἰκίαν τοῦ Τίμωνος εὗρεν αὐτὸν οὔπω ἐκ κλίνης ἀν-εστηκότα, ὄρθρος γὰρ ἦν. ἀλλ' ὅμως εἰς τὸ δωμάτιον εἰς-ελθὼν, καὶ τὸν ἄνδρα ἐξ-εγείρας, "νῦν δὴ," ἔ-φη, "πάρ-εστι σοι μαθεῖν, εἰ ὡς ἀληθῶς δειλός εἰμι. ἥκω γὰρ παρά σε δύο ξίφη ἔχων, ὧν δεῖ σε λαβόντα θἄτερον αὐτίκα ἐμοὶ μονομαχεῖν. καὶ ταῦτά γε, οἶμαι, ἡδέως δράσεις· εἴπερ, ὡς χθὲς ἔ-λεξας, δειλὸς εἶναί σοι δοκῶ."

194. ἀκούσας οὖν ὁ Τίμων, οἷα ἐκεῖνος λέγει, πρῶτον μέν τι ἐ-φοβεῖτο, μετὰ δὲ ταῦτα, σκεψάμενος ὅπως ἄριστα διαφεύξεται τὸν παρόντα κίνδυνον, ἀντ-εῖπε τοιάδε. "ἀλλ' ὀρθῶς μὲν ἐκεῖνα εἴρηκας, ποιήσω δ' οὖν ταῦτα, ὥσπερ σὺ κελεύεις. δεῖ δέ σε, οἶμαι, ἐν τῷ μεταξύ τι ἀνα-μεῖναι, ἕως ἂν τὸν χιτῶνα περι-βάλλωμαι καὶ τὸ ἱμάτιον. ὁ γὰρ ἀγὼν οὐκ ἐκ τοῦ ἴσου ἡμῖν ἔσται, εἰ γυμνὸς ὢν ἠμφιεσμένῳ σοι μαχοῦμαι." ἐ-κέλευσεν οὖν αὐτὸν ὁ στρατηγὸς θαρρεῖν ἕνεκά γε τούτων, καὶ ἀν-ίστασθαι. "ἐπεὶ ὑπισχνοῦμαί σοι," φησὶ, "καὶ ὄμνυμι ἀνα-μενεῖν, ἕως ἂν ἐν-δύῃς τὴν ἐσθῆτα, μετὰ δὲ ταῦτα τότε δὴ μαχούμεθα."

195. ὁ μὲν οὖν στρατηγὸς τοσαῦτα εἶπεν· ὁ δὲ Τίμων πρὸς μὲν τοῦτον ἐν τῷ παρόντι οὐδὲν ἀντ-εῖπε, καλέσας δὲ πρὸς ἑαυτὸν δοῦλόν τινα κελεύει αὐτὸν ἄριστον κατασκευάζειν αὐτόθι ἐν τῷ δωματίῳ. "σήμερον γὰρ," ἔ-φη, "ἐν νῷ ἔχω ἐνθάδε ἀριστοποιεῖσθαι. τὸ δὲ ἱμάτιόν μου καὶ τὸν χιτῶνα εἰς-τιθείης ἂν ἐς τὴν κίστην, οὐ γὰρ χρείαν αὐτῶν ἐν τῷ παρόντι ἔχω, ἀλλὰ δεῖ με ἐνθάδε γυμνὸν μένειν." ὁ δὲ δοῦλος, "ὦ δέσποτα," ἔ-φη, "ἆρ' ὡς ἀληθῶς

ἔμε κελεύεις ταῦτα ποιεῖν;" "ἔγωγε!" ἦ δ' ὅς, ὁ Τίμων, "φησὶ γὰρ ὁ ἀνὴρ ὅδε μονομαχήσειν ἐμοί, ὅταν ἐν-δύω τὴν ἐσθῆτα, πρότερον δὲ οὔ."

196. θαυμάσας οὖν ὁ στρατηγὸς τὸν ἄνδρα ἐπ-ηρώτα, πότε ἄρα τὴν ἐσθῆτα ἐν-δύσεται, καὶ ἀνα-στήσεται; ὁ δὲ Τίμων, "οὐδέποτε," ἔ-φη, "ταῦτα ποιήσω, ἀλλὰ διὰ παντὸς τοῦ βίου κείσομαι ὧδε γυμνός. εὖ γὰρ οἶδα ὅτι τὸν ὅρκον οὐκ ἐπι-ορκήσεις, βούλομαι δὲ δια-τελεῖν μᾶλλον ἀεὶ γυμνὸς ὤν, ἢ ἠμφιεσμένος ὑπὸ σοῦ δια-φθαρῆναι." ὁ δὲ στρατηγὸς πρὸς ταῦτα (ἦν γὰρ καὶ αὐτὸς φιλοπαίσμων), οὐκ ἐ-δύνατο τὸν γέλωτα κατα-σχεῖν. θαρρεῖν οὖν ἐ-κέλευσε τὸν ἄνδρα, καὶ τὴν ἐσθῆτα ἐν-δύεσθαι, "οὔτε γὰρ γυμνόν σε," φησὶν, οὔτε ἠμφιεσμένον κακὸν οὐδὲν ποιήσω." ὁ μὲν οὖν στρατηγὸς τοσαῦτα εἰπὼν ἀπ-ῆλθεν, ὁ δὲ Τίμων τότε δὴ ἀνα-στὰς ἠριστοποιήσατο.

THE INQUISITIVE MILESIAN.

197. ἀνήρ τις ἐν πανδοκείῳ ποτὲ καθ-ήμενος ἐπιστολὴν ἔ-γραφεν. ὕστερον δὲ οὐ πολλῷ εἰς-ελθὼν εἰς τὸν αὐτὸν τόπον Μιλήσιός τις ἐπ-ε-θύμησεν εἰδέναι, τί ὁ ξένος γράφει. παρα-καθήμενος οὖν αὐτῷ, καὶ παρὰ τὸν ὦμον αὐτοῦ λάθρᾳ παρα-βλέψας, πάντα ῥᾳδίως ἀν-έ-γνω. νοήσας δὲ ἐκεῖνος οἷα ὁ Μιλήσιος ποιεῖ, φανερῶς μὲν οὐδὲν εἶπεν, βουλόμενος δὲ νουθετεῖν τὸν ἄνθρωπον τέλος ἐπ-έ-θηκε τῇ ἐπιστολῇ γράψας τοιάδε. "καὶ περὶ μὲν τούτων, ὦ φίλτατε, τοσαῦτα εἰρήσθω· ἄλλα δὲ πολλὰ ἔχω σοι δι-ηγεῖσθαι, ἃ ἀνάγκη ἐστὶν ἐν τῷ παρόντι παρα-λείπειν. παρα-καθῆται γάρ μοι φορτικός τις (ὡς ἔοικεν) ἄνθρωπος, καὶ πάντα ὅσα ἂν γράφω παρα-βλέψας ἀνα-γιγνώσκει."

198. ἀνα-γνοὺς δὲ καὶ ταῦτα ὁ Μιλήσιος ἐ-κέλευσε τὸν ξένον μὴ ποιεῖν ἐκεῖνα, ἀλλὰ θαρρεῖν τε καὶ τὰ λοιπὰ

δι-ηγεῖσθαι. "ἐγὼ γάρ," ἔ-φη, "οὔτε φορτικός εἰμι ὡς σὺ φῄς, ἀλλ' εὐγενής τε καὶ καλῶς πε-παιδευμένος, οὔτε ἐκείνων οὐδ' ὁτιοῦν ἑ-όρακα, ὧν σὺ ἐν τῇ ἐπιστολῇ γέ-γραφας. καὶ ἑτοῖμός εἰμι ὀμνύειν σοι ὅρκον μέγαν, ἦ μὴν ταῦτα ἃ λέγω ἀληθῆ εἶναι." ὁ δὲ ξένος ὑπο-λαβὼν, "πῶς ἄρα," ἔ-φη, "ὦ δαιμόνιε, με-μάθηκας ὅτι φορτικόν σε κέ-κληκα, ὅς γε τούτων ὧν γέ-γραφα οὐδ' ὁτιοῦν ἑ-όρακας;" οὕτως οὖν αὐτὸς δι' ἑαυτοῦ ἐλεγχθεὶς ὁ Μιλήσιος, ὡς ψευδῆ λέγει, γέλωτα πολὺν τοῖς παρ-οῦσι πᾶσι πάρ-ε-σχεν.

NOTE.

In the remaining Stories (which are all drawn from Grecian History), the Augments, etc., of Verbs, and the Prepositional element in Compound Verbs, are no longer distinguished by hyphens. It is to be hoped that the learner will be able by this time to distinguish them for himself.

Boys are strongly recommended at this point to refresh their memories, and prepare for the work before them, by reading carefully through the first part of the *Hints to Beginners* (How to look out words in the Vocabulary).

ATTACK UPON AN ATHENIAN FORT.

199. προσέβαλλόν ποτε οἱ Λακεδαιμόνιοι τείχει τινὶ τῶν Ἀθηναίων κατά τε γῆν καὶ κατὰ θάλασσαν. ἦν δὲ αὐτοῖς ὁπλιτῶν τε πλῆθος ἱκανὸν, καὶ νῆες ἐς τεσσαράκοντα. ἐγένοντο μὲν οὖν πάντες πρόθυμοι τὸ χωρίον ἑλεῖν· πάντων δὲ φανερώτατος Βρασίδας ἦν. ὁρῶν γάρ τινας τῶν κυβερνητῶν φειδομένους τῶν νεῶν, καὶ φοβουμένους ὑπὲρ αὐτῶν μὴ συντρίψωσιν, ἐβόα οὗτος καὶ ἐθάρσυνεν

αὐτοὺς λέγων τάδε. "ὦ ἄνδρες, τί ποιεῖτε; οὐ γὰρ πρέπει ξύλων μὲν φείδεσθαι, τοὺς δὲ πολεμίους ἐπιτειχίζοντας ἡμῖν περιορᾶν. ἀλλὰ κελεύω ὑμᾶς ἄνδρας ἀγαθοὺς εἶναι, παντὶ δὲ τρόπῳ ὀκέλλειν καὶ ἀποβαίνειν. δεῖ γὰρ τῶν τε ἀνδρῶν καὶ τοῦ χωρίου κρατῆσαι."

200. *τοσαῦτα οὖν εἰπὼν ὁ Βρασίδας θαυμασίως ὡς πάντας ἐπώτρυνεν, ὥστε οὐκέτι ἔμελλον, ἀλλὰ πρόθυμος ἕκαστος ἐγένετο αὐτὸς πρῶτος ἀποβαίνειν. ὁ δὲ, ἀναγκάσας τὸν ἑαυτοῦ κυβερνήτην τὴν ναῦν ὀκέλλειν, ἐχώρει εὐθὺς ἐπὶ τὴν ἀποβάθραν. καὶ πειρώμενος ἤδη ἀποβαίνειν ἀνεκόπη ὑπὸ τῶν Ἀθηναίων, καὶ τραύματα πολλὰ λαβὼν ἐλιποψύχησεν. ὁ μὲν οὖν ἔκειτο πεσὼν ἐν τῇ νηΐ, ἡ δὲ ἀσπὶς αὐτοῦ κατέπεσεν ἐς τὴν θάλασσαν, καὶ οἱ Ἀθηναῖοι ὕστερον αὐτὴν ἀνελόμενοι ἐχρήσαντο πρὸς τὸ τροπαῖον, ὃ ἐκεῖ ἔστησαν. τοιαῦτα τοίνυν ὁ Βρασίδας ἔπαθεν· οἱ δὲ ἄλλοι ἀδύνατοι ἦσαν ἀποβῆναι, χαλεπότητί τε τῶν χωρίων καὶ τῶν Ἀθηναίων οὐδὲν ὑποχωρούντων.*

RECOVERY OF SALAMIS BY THE ATHENIANS.

201. *ἡ νῆσος Σαλαμὶς ἐν τῷ Σαρωνικῷ κόλπῳ κεῖται, ἀπέχουσα οὐ πολὺ τῆς παραλίας τῆς Ἀττικῆς. αὕτη οὖν ἡ νῆσος πάλαι μὲν ὑπὸ τοῖς Ἀθηναίοις ἦν. ἐπειδὴ δὲ ὑπὸ τῶν Μεγαρέων ἐλήφθη, οἱ Ἀθηναῖοι, πολεμήσαντες περὶ αὐτῆς πόλεμον μακρὸν καὶ δυσχερῆ, ἀπέκαμον. ἔθεντο οὖν νόμον μηδενὶ ἐξεῖναι μήτε εἰπεῖν αὖθις μήτε γράψαι, ὡς χρὴ τὴν πόλιν ἀντιποιεῖσθαι Σαλαμῖνος. ἐκέλευον δὲ τὴν ζημίαν εἶναι θάνατον, ἤν τις τοῦτο ποιῇ. ὁ δὲ Σόλων, ἔντιμος τότε ὢν ἐν τοῖς Ἀθηναίοις, ἔφερε ταῦτα βαρέως. καὶ περισκοπῶν εἶδε πολλοὺς τῶν νεωτέρων πολέμου μὲν ἐπιθυμοῦντας, ἐπαινεῖν δὲ αὐτὸν οὐ τολμῶντας διὰ τὸν νόμον.*

202. προσεποιεῖτο οὖν μαίνεσθαι, καὶ συνθεὶς κρύβδην ἐλεγεῖά τινα ἐμελέτησεν αὐτὰ ὥστε δύνασθαι ἀπὸ στόματος λέγειν. μετὰ δὲ ταῦτα ἐκ τῆς οἰκίας ἐξιὼν ἀνεπήδησεν αἰφνιδίως εἰς τὴν ἀγορὰν. ὄχλου δὲ πολλοῦ συνελθόντος, ἀναβὰς ἐπὶ λίθον τινὰ, ἐφ' ᾧπερ οἱ κήρυκες εἰώθεσαν ἵστασθαι, τὰ ἔπη ἐκεῖ διεξῆλθεν. ἀκούσαντες δὲ οἱ νεώτεροι ἐπεθορύβουν· ὥστε λύσαντες τὸν νόμον οἱ πολῖται ἥπτοντο αὖθις τοῦ πολέμου, τὸν δὲ Σόλωνα ἐχειροτόνησαν στρατηγόν. πλεύσας οὖν ὁ Σόλων ἐπὶ ἄκραν τινὰ τῆς Ἀττικῆς, ἐν ᾗ Δημητρὸς νεώς ἐστιν, εὗρεν ἐκεῖ γυναῖκας θυούσας. αἰσθόμενος δὲ, ἔπεμψεν ἄνδρα πιστὸν εἰς Σαλαμῖνα προσποιούμενον αὐτόμολον εἶναι παρὰ τῶν Ἀθηναίων.

203. ἀφικόμενος δὲ ὁ ἄνθρωπος ἐκέλευσε τοὺς Μεγαρεῖς πλεῖν ὅτι τάχιστα ἐπὶ τὴν ἄκραν, εἰ βούλονται λαβεῖν τῶν Ἀθηναίων τὰς πρώτας γυναῖκας. οἱ δὲ πεισθέντες πλοῖον ἔπεμψαν καὶ στρατιώτας. προσιόντος δὲ τοῦ πλοίου ὁ Σόλων ἀπέπεμψε τὰς γυναῖκας, σκευάσας δὲ τοὺς νεωτέρους τῶν στρατιωτῶν γυναικείᾳ στολῇ, ἐκέλευσεν αὐτοὺς λαβόντας ἐγχειρίδια κρυπτὰ παίζειν πρὸς τῇ θαλάσσῃ καὶ χορεύειν. ἐλθόντες οὖν οἱ Μεγαρῆς, καὶ τὰς δὴ γυναῖκας ὁρῶντες, ἐξεπήδων ἐκ τοῦ πλοίου ἁρπάσοντες. προσποιουμένων δὲ ἐκείνων φεύγειν, οἱ Μεγαρῆς ἐδίωκον ἀτάκτως. μεταστρεφθέντες οὖν οἱ νεανίσκοι, καὶ τὰ ἐγχειρίδια σπασάμενοι, πάντας ἀπέκτειναν. οἱ δὲ Ἀθηναῖοι εὐθὺς ἐπιπλεύσαντες κατέσχον τὴν νῆσον.

204. λέγουσι δὲ ἄλλοι τινὲς, ὡς πλεύσας ὁ Σόλων νυκτὸς εἰς τὴν νῆσον ἐν κόλπῳ τινὶ ὡρμίσατο. ἦσαν δὲ ἐν τῇ τῶν Σαλαμινίων πόλει Μεγαρῆς οὐκ ὀλίγοι. οὗτοι οὖν, πυθόμενοι ἐκ φήμης οὐδὲν βέβαιον, ἐστρατοπεδεύ-

σαυτό τε ἐξελθόντες, καὶ ναῦν ἅμα ἀπέστειλαν κατάσκοπον. ὁ δὲ Σόλων ἐκράτησέ τε τοῦ πλοίου τούτου, καὶ τοὺς ἐμπλέοντας καθεῖρξεν. ἔπειτα δὲ ἐμβιβάσας εἰς αὐτὸ Ἀθηναίους τινὰς, ἐκέλευσε πλεῖν εἰς τὴν πόλιν, ὡς οἷόν τε μάλιστα κρύπτοντας ἑαυτούς. ἅμα δὲ, ἀναλαβὼν τοὺς ἄλλους Ἀθηναίους, αὐτὸς τοῖς Μεγαρεῦσιν ἐπεφέρετο. μαχομένων δὲ ἔτι, ἀφίκοντο οἱ ἐν τῷ πλοίῳ εἰς τὴν πόλιν, καὶ κατέλαβον αὐτὴν ἀφύλακτον οὖσαν.

THE BATTLE OF DELIUM.

205. ἐγένετο ἐν τῷ Δηλίῳ μάχη τῶν Ἀθηναίων πρὸς τοὺς Βοιωτοὺς διὰ τοιαύτας τινὰς αἰτίας. ἀχθόμενοί τινες τῶν Βοιωτῶν τῇ ἑαυτῶν πολιτείᾳ ὀλιγαρχικῇ οὔσῃ ἔσπευδον καταστῆσαι ἐν ταῖς πόλεσι δημοκρατίας. διελέχθησαν δὲ περὶ τούτων τοῖς τῶν Ἀθηναίων στρατηγοῖς Ἱπποκράτει καὶ Δημοσθένει, καὶ ἐπηγγέλλοντο παραδώσειν αὐτοῖς τὰς ἐν τῇ Βοιωτίᾳ πόλεις. οἱ δὲ Ἀθηναῖοι ἀκούσαντες τὰ ἐπαγγελλόμενα ἀσμένως προσεδέξαντο, καὶ ἕτοιμοι ἦσαν συλλαμβάνειν. ἀναλαβὼν οὖν ὁ Δημοσθένης τὸ πλεῖστον μέρος τοῦ στρατεύματος, εἰσέβαλεν αὐτίκα εἰς τὴν Βοιωτίαν, ἐλπίζων ἥξειν ἀπροσδοκήτως, καὶ τὴν χώραν ῥᾳδίως κατασχήσειν. ἀφικόμενος δὲ εὗρε τοὺς Βοιωτοὺς προειδότας τὴν πεῖραν, καὶ ἀπῆλθε διὰ ταῦτα ἄπρακτος.

206. ὁ δὲ Ἱπποκράτης ἀγαγὼν πανδημεὶ τοὺς Ἀθηναίους ἐπὶ τὸ Δήλιον κατέλαβέ τε τὸ χωρίον καὶ ἐτείχισε, φθάσας τὴν ἔφοδον τῶν Βοιωτῶν. τοῦτο δὲ τὸ χωρίον κεῖται πλησίον τῶν ὅρων τῆς Βοιωτίας. τὴν δὲ τῶν Βοιωτῶν στρατηγίαν Παγώνδας τις τότε εἶχεν. οὗτος οὖν μεταπεμψάμενος στρατιώτας ἐξ ἁπασῶν τῶν κατὰ τὴν Βοιωτίαν πόλεων, ἥκει πρὸς τὸ Δήλιον μετὰ πολλῶν

στρατιωτῶν. εἶχε γὰρ πεζοὺς μὲν οὐ πολὺ ἐλλείποντας τῶν δισμυρίων, ἱππέας δὲ περὶ χιλίους. οἱ δὲ Ἀθηναῖοι τῷ μὲν πλήθει ὑπερεῖχον τῶν Βοιωτῶν, ἡ δὲ ὅπλισις αὐτῶν ἐνδεεστέρα ἦν. ὡς γὰρ διὰ τάχους συλλεχθέντες, ἐξῆλθον ἐκ τῆς πόλεως ἀπαράσκευοι.

207. ἐξῄεσαν οὖν ἐς μάχην ἀμφότεροι. οἱ δὲ Βοιωτοὶ ἐτάχθησαν ὧδε,—ἐπὶ μὲν τὸ δεξιὸν κέρας οἱ Θηβαῖοι, ἐπὶ δὲ τὸ εὐώνυμον οἱ Ὀρχομένιοι. τὴν δὲ μέσην φάλαγγα οἱ ἄλλοι Βοιωτοὶ ἀνεπλήρουν. κατέστησαν δὲ ἐν μετώπῳ ἐπίλεκτοι ἄνδρες τριακόσιοι. ἰδόντες δὲ αὐτοὺς οἱ Ἀθηναῖοι ἤρχοντο τὸ ἑαυτῶν στράτευμα διακοσμεῖν. ἔτι δὲ διατασσόμενοι ᾔσθοντο τοὺς πολεμίους ἐπιφερομένους, καὶ ἠναγκάσθησαν μάχην εὐθὺς συνάπτειν. ἡ δὲ συμβολὴ ἐγένετο ἰσχυρὰ, καὶ οἱ μὲν τῶν Ἀθηναίων ἱππεῖς λαμπρῶς ἀγωνιζόμενοι ἠνάγκασαν τοὺς ἀντιστάντας ἱππέας φυγεῖν. διαμαχομένων δὲ τῶν πεζῶν, οἱ μὲν Θηβαῖοι ἔτρεψαν τοὺς ἑαυτοῖς ἀντιταχθέντας Ἀθηναίους, οἱ δὲ ἄλλοι Βοιωτοὶ ἡσσώμενοι ἔφευγον.

208. τούτους οὖν οἱ Ἀθηναῖοι ἐδίωξαν. οἱ δὲ Θηβαῖοι, διαφέροντες τῇ τῶν σωμάτων ῥώμῃ, οὐδ᾽ ὁτιοῦν ὑπεχώρουν, ἀλλ᾽ ἐπιστρέψαντες, καὶ τοῖς διώκουσιν Ἀθηναίοις ἐπιπεσόντες, φυγεῖν ἠνάγκασαν. διὰ δὲ ταῦτα οἱ Θηβαῖοι μεγάλην δόξαν εἰκότως ἀπηνέγκαντο. ἡσσηθέντων γὰρ τῶν ἄλλων Βοιωτῶν, οὗτοι μόνοι τοὺς νικῶντας ἔτρεψαν. τῶν δὲ Ἀθηναίων οἱ μὲν εἰς Ὠρωπὸν κατέφυγον, οἱ δὲ εἰς τὸ Δήλιον, τινὲς δὲ καὶ πρὸς τὴν θάλασσαν ἠπείγοντο, ἔτυχον γὰρ ναῦς τινὰς ἐκεῖ ἔχοντες. ἄλλοι δὲ κατ᾽ ἄλλους τόπους, ὡς ἔτυχεν ἕκαστος, διεσπάρησαν. ἔπεσον δὲ ἐν τῇ μάχῃ ταύτῃ τῶν μὲν Βοιωτῶν μάλιστα πεντακόσιοι, τῶν δὲ Ἀθηναίων πολλαπλάσιοι τούτων.

209. εἰ μὲν οὖν ἡ νὺξ μὴ προκατέλαβε τὴν δίωξιν, ἀπέθανον ἂν οἱ πλεῖστοι τῶν Ἀθηναίων. αὕτη δὲ ἐν καιρῷ ἐπιγιγνομένη διέσωσε τοὺς φεύγοντας· ὅμως δὲ τὸ τῶν ἀναιρεθέντων πλῆθος τοσοῦτον ἦν, ὥστε οἱ Θηβαῖοι κατέστησαν ἐκ τῆς λείας ἐν τῇ ἀγορᾷ στοὰν μεγάλην, ἐκόσμησαν δὲ αὐτὴν ἀνδριᾶσι χαλκοῖς, τοῖς δὲ ὅπλοις τῶν νεκρῶν καὶ τοῖς σκύλοις ναοὺς πολλοὺς κατεχαλκῶσαν. μετὰ δὲ τὴν μάχην οἱ Βοιωτοὶ προσβολὰς ποιησάμενοι τῷ Δηλίῳ εἷλον αὐτὸ κατὰ κράτος. τῶν δὲ φρουρούντων ἐν αὐτῷ οἱ μὲν πλείους μαχόμενοι ἀπέθανον γενναίως, διακόσιοι δὲ ἑάλωσαν. καταφυγόντες δὲ οἱ λοιποὶ εἰς τὰς ναῦς διεκομίσθησαν οἴκαδε.

ATHENIAN PUBLIC FUNERALS.

210. φησὶν ὁ Θουκυδίδης ὅτι οἱ Ἀθηναῖοι ταφὰς ποιοῦνται τῶν ἐν τοῖς πολέμοις ἀποθανόντων τρόπῳ τοιῷδε. τὰ μὲν ὀστᾶ συλλέξαντες προτίθενται πρότριτα, σκηνὴν ποιήσαντες. οἱ δὲ οἰκεῖοι τῶν ἀπογενομένων στεφάνους ἐπιφέρουσι, καὶ ὅσα ἂν ἄλλα τις βούληται. ἐπειδὰν δὲ ἡ ἐκφορὰ ᾖ, ἅμαξαι ἄγουσι λάρνακας κυπαρισσίνας, καὶ τὰ ὀστᾶ ἐς ταύτας ἐντιθέασι διαιρεθέντα κατὰ φυλάς, ἑκάστης γὰρ φυλῆς μία λάρναξ ἐστίν. ἅμα δὲ ἄλλη τις κλίνη κενὴ φέρεται ἐστρωμένη, ἵνα μνημεῖον ᾖ τῶν παραλελειμμένων νεκρῶν, οἳ ἂν μὴ εὑρεθῶσιν εἰς ἀναίρεσιν. συνεκφέρουσι δὲ ὅσοι βούλονται καὶ ἀστῶν καὶ ξένων, καὶ αἱ προσήκουσαι γυναῖκες πάρεισιν ἐπὶ τὸν τάφον ὀλοφυρόμεναι.

211. ταῦτα οὖν ποιήσαντες τιθέασι τοὺς νεκροὺς ἐς τὸ δημόσιον σῆμα, ὅ ἐστιν ἐπὶ τοῦ καλλίστου προαστείου τῆς πόλεως. καὶ θάπτουσιν ἀεὶ ἐν τούτῳ τοὺς ἐν τοῖς πολέμοις πεσόντας, πλήν γε τοὺς ἐν Μαραθῶνι. κοίναντες

γὰρ τὴν ἐκείνων ἀρετὴν διαπρεπῆ εἶναι οὐκ ἐκόμισαν πάλιν οἴκαδε τοὺς νεκρούς, ἀλλὰ τὸν τάφον ἐποίησαν ἐπ' αὐτοῦ τοῦ τόπου, ἐν ᾧπερ καὶ ἀπέθανον.

ἐπειδὰν δὲ κρύψωσι γῇ τοὺς νεκρούς, σοφός τις καὶ ἔντιμος ἀνὴρ ᾑρημένος ὑπὸ τῆς πόλεως λέγει ἐπ' αὐτοῖς τὸν πρέποντα ἔπαινον. ἀγορεύει δὲ προελθὼν ἀπὸ τοῦ σήματος ἐπὶ βῆμα ὑψηλὸν πεποιημένον, ὅπως ἀκούηται ὡς ἐπὶ πλεῖστον τοῦ ὁμίλου.

CYLON'S USURPATION.

212. Κύλων ἦν ἀνὴρ Ἀθηναῖος, εὐγενής τε καὶ δυνατός· ἐνενικήκει γάρ ποτε ἐν τῷ Ὀλυμπιακῷ καλουμένῳ ἀγῶνι, καὶ διὰ ταῦτα ὑπὸ πάντων μάλιστα ἐτιμήθη. γεγαμηκὼς δὲ θυγατέρα Θεαγένους τινός, ὃς κατ' ἐκεῖνον τὸν χρόνον Μεγάρων ἐτυράννευεν, ἐβούλετο καὶ αὐτὸς γίγνεσθαι τύραννος. ἐπορεύθη οὖν πρὸς τὸ μαντεῖον τὸ ἐν Δελφοῖς, χρησόμενος τῷ Ἀπόλλωνι, εἰ τὸ βούλευμα αὐτῷ προχωρήσει. ἀνεῖλε δὲ ὁ θεός, ὅτι γενήσεται ταῦτα, εἰ καταλήψεται τὴν ἀκρόπολιν τῶν Ἀθηναίων ἐν τῇ τοῦ Διὸς μεγίστῃ ἑορτῇ. πρὸς ταῦτα οὖν ὁ Κύλων ἐνόμισε τὰ Ὀλύμπια εἶναι μεγίστην τοῦ Διὸς ἑορτήν. ᾤετο δὲ ταῦτα καὶ ἑαυτῷ μάλιστα προσήκειν, διότι ἐκεῖ νενίκηκεν.

213. ὁ δὲ Κύλων, ὡς ἔοικε, ταῦτα λίαν ἀπερισκέπτως ἐλογίσατο. τὰ γὰρ Ὀλύμπια ἦν μὲν μεγάλη ἑορτή· ἔστι δὲ καὶ ἄλλη τις πανήγυρις τῶν Ἀθηναίων, ἥπερ διαρρήδην καλεῖται "μεγίστη Διὸς ἑορτή." τὰ γὰρ Διάσια, τὰ ἔξω τῆς πόλεως ποιούμενα, ἐπίκλησιν τοιαύτην ἔχει· οἱ δὲ Ἀθηναῖοι ἐν αὐτοῖς πανδημεὶ θύουσιν. αὕτη οὖν ἦν ἡ ἑορτὴ ἡ ὑπὸ τοῦ θεοῦ λεγομένη. ἐπεχείρησε τοίνυν τῷ ἔργῳ ὁ Κύλων, καὶ τὴν ἀκρόπολιν ἐν τοῖς Ὀλυμπίοις κατέλαβεν. οἱ δὲ Ἀθηναῖοι αἰσθόμενοι ἐβοήθησαν ἐπὶ

αὐτὸν ἐκ τῶν ἀγρῶν πανδημεὶ, καὶ προςκαθεζόμενοι ἐπολιόρκουν. χρόνου δὲ πολλοῦ ἐπιγιγνομένου, οἱ Ἀθηναῖοι τρυχόμενοι τῇ προσεδρείᾳ ἠθύμησαν.

214. ἀπῆλθον οὖν οἱ πολλοὶ, τοῖς δὲ ἐννέα ἄρχουσιν (οἱ ἔπρασσον τότε τὰ πλεῖστα τῶν πολιτικῶν) ἐπέτρεψαν τὴν τῆς ἀκροπόλεως φυλακήν. ἐκέλευσαν δὲ τούτους πάντα ποιεῖν, ὅσα ἄριστα εἶναι διαγιγνώσκοιεν. οἱ δὲ μετὰ τοῦ Κύλωνος πολιορκούμενοι κακῶς εἶχον σίτου τε καὶ ὕδατος ἀπορίᾳ. ὁ μὲν οὖν Κύλων καὶ ὁ ἀδελφὸς αὐτοῦ ἐκδιδράσκουσιν. οἱ δὲ ἄλλοι (ὡς ἐπιέζοντο, καί τινες αὐτῶν καὶ ἀπέθνησκον ὑπὸ τοῦ λιμοῦ), καθίζουσιν ἐπὶ τὸν βωμὸν τὸν ἐν τῇ ἀκροπόλει ὡς ἱκέται. οἱ δὲ φύλακες τῶν Ἀθηναίων ἀναστήσαντες αὐτοὺς, ὅπως μὴ ἐν τῷ ἱερῷ ἀποθνήσκοιεν, ὑπισχνοῦνται μὲν κακὸν μηδὲν ποιήσειν, ἀπαγαγόντες δὲ ὅμως πάντας ἀπέκτειναν.

PIRACY IN EARLY GREECE.

215. πρῶτος πάντων, ὧν ἴσμεν, ὁ Μίνως ναυτικὸν ἐκτήσατο, καὶ ἐκράτησεν ἐπὶ πλεῖστον τῆς Ἑλληνικῆς θαλάσσης. καὶ τῶν Κυκλάδων νήσων ἐβασίλευσε, πολλῶν δὲ αὐτῶν οἰκιστὴς ἐγένετο πρῶτος, τοὺς Κᾶρας ἐξελάσας, καὶ τοὺς ἑαυτοῦ παῖδας ἐγκαταστήσας ἐν αὐταῖς ἡγεμόνας. καθῄρει δὲ οὗτος ἐκ τῆς θαλάσσης τοὺς λῃστὰς, ἐφ' ὅσον ἐδύνατο· ἵνα ἀτάρακτοι ὄντες οἱ νησιῶται φέροιεν αὐτῷ προσόδους πλείους. οἱ γὰρ Ἕλληνες τὸ πάλαι, ἐπειδὴ ἤρξαντο μᾶλλον περαιοῦσθαι ναυσὶν ἐπὶ ἀλλήλους, ἐτράποντο πρὸς λῃστείαν. αἱ δὲ τότε πόλεις ἀτείχιστοι ἦσαν αἱ πολλαί. ταύταις οὖν προςπίπτοντες οἱ λῃσταὶ ἥρπαζον αὐτὰς ῥᾳδίως, καὶ τὸν πλεῖστον τοῦ βίου ἐντεῦθεν ἐποιοῦντο.

216. ἐπὶ γὰρ τῶν πάνυ παλαιῶν ἀνθρώπων ἡ λῃστεία οὐ μόνον αἰσχύνην οὐδεμίαν ἔσχεν, ἀλλὰ καὶ δόξαν τινὰ ἔφερεν. ἐν δέ τισι τῶν Ἑλλήνων, ἔτι καὶ ὕστερον, κόσμος ἦν καλῶς τοῦτο δρᾶν. καὶ οἱ παλαιοὶ τῶν ποιητῶν τὰ αὐτὰ δηλοῦσιν. ἐν γοῦν τοῖς τοῦ Ὁμήρου ἔπεσιν ὁ Νέστωρ, ξενίζων τὸν Τηλέμαχον, ἀγνοῶν δὲ αὐτὸν, ἐρωτᾷ, εἰ λῃστής ἐστι. καὶ οὔτε ὁ τὰ τοιαῦτα ἐρωτῶν ὀνειδίζει τοὺς ἀπὸ λῃστείας ζῶντας, οὔτε ἐκεῖνος αὖ ἀποκρινόμενος ἀπαξιοῖ τὸ ἔργον. καίτοι ὁ μὲν Νέστωρ γέρων ἦν τιμιώτατος ἐν τῇ Ἑλλάδι· ὁ δὲ Τηλέμαχος νεανίσκος σωφρονέστατος, καὶ ὁ πατὴρ αὐτοῦ βασιλεὺς ἦν.

BEGINNINGS OF GREEK CIVILISATION.

217. οἱ παλαίτατοι τῶν Ἑλλήνων πάντες ἐσιδηροφόρουν. ἡ γὰρ τότε δίαιτα οὔπω ἀσφαλὴς ἦν· ἐπεὶ καὶ οἱ λῃσταὶ προσέπιπτον πολλάκις ταῖς πόλεσι, καὶ αὐτοὶ οἱ πολῖται, ὁπότε διαφοράς τισιν ἔχοιεν, οὐ δίκῃ ἀλλὰ βίᾳ ταύτας διῄρουν. πρῶτοι δὲ οἱ Ἀθηναῖοι καὶ ἄλλοι τινὲς κατέθεντο τὸν σίδηρον, καὶ εἰς ἀνειμένην μᾶλλον δίαιταν μετέστησαν. καὶ αἱ μὲν παλαιαὶ πόλεις τῶν Ἑλλήνων ἀπεῖχον ὅ,τι πλεῖστον ἀπὸ τῆς θαλάσσης, οἱ γὰρ οἰκισταὶ αὐτῶν ἐφοβοῦντο τοὺς λῃστάς. αἱ δὲ νεώτεραι αὖ ἐκτίζοντο πολλάκις ἐπ' αὐτοῖς τοῖς αἰγιαλοῖς καὶ τοῖς ἰσθμοῖς, ἐμπορίας ἕνεκα. ἡ γὰρ λῃστρικὴ ἤδη τότε ἐπέπαυτο, ὥστε οὐκέτι ἐφοβοῦντο ἐκεῖ οἰκίζεσθαι.

DESCENT UPON EGYPT BY ATHENIAN ADVENTURERS.

218. Στρατιῶταί τινες τῶν Ἀθηναίων, πλεύσαντες ἐκ Κύπρου ἐς τὸν Νεῖλον, ἐκράτουν τε τοῦ ποταμοῦ, καὶ τῆς ἄλλης Αἰγύπτου τὸ πλεῖστον μέρος κατέσχον. ἐβασίλευε δὲ τότε τῶν Περσῶν Ἀρταξέρξης, ἡ δὲ Αἴγυπτος ὑπήκοος

τούτων ἦν. ἀκούσας οὖν τὰ γενόμενα, καὶ τὸ πρᾶγμα βαρέως φέρων, ἔπεμψεν ἐς Λακεδαίμονα Μεγάβαζον ἄνδρα Πέρσην, χρήματα ἔχοντα, ὅπως δοὺς ταῦτα πείθοι τοὺς Λακεδαιμονίους ἐσβαλεῖν ἐς τὴν Ἀττικήν. ἤλπιζε γὰρ τοὺς Ἀθηναίους ἀπιέναι αὖθις οἴκαδε ἀπὸ τῆς Αἰγύπτου, ἢν πύθωνται τὴν πατρίδα φθειρομένην. ἦλθεν οὖν ἐς τὴν Ἑλλάδα ὁ Μεγάβαζος. ὡς δὲ αὐτῷ τὸ πρᾶγμα οὐκ εὖ ἐχώρει, ἐκομίσθη πάλιν ἐς τὴν Ἀσίαν ἄπρακτος.

219. μετὰ δὲ ταῦτα πέμπει ὁ Μεγάβαζος ἐς τὴν Αἴγυπτον ἄλλον τινὰ ἄνδρα Πέρσην, Μεγάβυζον τὸν Ζωπύρου, μετὰ στρατιᾶς πολλῆς. ἀφικόμενος οὖν οὗτος ἐξήλασέ τε τοὺς Ἕλληνας ἐκ τῆς χώρας, καὶ τέλος κατέκλεισεν αὐτοὺς ἐς μικράν τινα νῆσον· καλεῖται δὲ ἡ νῆσος Προσώπιτις. καὶ ἐπολιόρκει ἐν ταύτῃ τοὺς Ἀθηναίους ἐνιαυτὸν καὶ μῆνας ἕξ, ἀλλ' οὐ δυνάμενος ἑλεῖν τὸ χωρίον τοιάνδε τινὰ μηχανὴν ἐπινοεῖ. ξηράνας τὸν ποταμόν, τὸ ὕδωρ ἄλλῃ παρέτρεψεν. ἐγένοντο τοίνυν ἐπὶ τοῦ ξηροῦ αἱ νῆες τῶν Ἀθηναίων, καὶ τὰ πολλὰ τῆς νήσου ἤπειρος. διαβὰς δὲ ὁ Μεγάβυζος εἷλε τὴν νῆσον πεζῇ, καὶ τὰ τῶν Ἑλλήνων πράγματα οὕτω διεφθάρη.

QUARRELS BETWEEN ATHENS AND HER ALLIES.

1. *Thasos secedes. Foundation of Amphipolis.*

220. οἱ Θάσιοι σύμμαχοί ποτε ἦσαν τῶν Ἀθηναίων. χρόνῳ δὲ ὕστερον ἀπέστησαν αὐτῶν, διαφοράν τινα ἔχοντες περὶ ἐμπορίων καὶ μετάλλων. καὶ ναυσὶ μὲν ἐπὶ Θάσον πλεύσαντες οἱ Ἀθηναῖοι ναυμαχίᾳ ἐκράτησαν, καὶ ἐς τὴν γῆν ἀποβάντες ἐπολιόρκησαν τὴν πόλιν. ἔπεμψαν δὲ ἐπὶ Στρυμόνα (ὃς ποταμός ἐστιν ἐν τῇ ἀντιπέρας Θρᾴκῃ ἀπέχων οὐ πολὺ τῆς Θάσου) μυρίους οἰκήτορας

αὐτῶν τε καὶ τῶν συμμάχων· ἐκέλευσαν δὲ αὐτοὺς χωρίον τι οἰκίζειν, ὅπερ ἐκαλεῖτο τότε μὲν Ἐννέα Ὁδοί, νῦν δὲ Ἀμφίπολις. τούτου οὖν τοῦ χωρίου οἱ οἰκήτορες ἐκράτησαν, ἔπειτα δὲ προελθόντες ἐς τὴν μεσόγειαν τῆς Θρᾴκης διεφθάρησαν ἐν Δραβήσκῳ ὑπὸ τῶν ἐπιχωρίων.

2. *An application to Sparta. The fugitives in Ithome.*

221. Θάσιοι δὲ νικηθέντες μάχαις καὶ πολιορκούμενοι Λακεδαιμονίους ἐπεκαλοῦντο, ἐκέλευον δὲ ἐπαμῦναι ὡς τάχιστα ἐσβαλόντας ἐς τὴν Ἀττικήν. οἱ δὲ ὑπέσχοντο μὲν κρύφα τῶν Ἀθηναίων ποιήσειν ταῦτα, καὶ ἔμελλον· διεκωλύθησαν δὲ διὰ τόδε. σεισμός τις ἐγένετο τῆς γῆς ὥστε πάντας ταραχθῆναι. αἰσθόμενοι δὲ ταῦτα πολλοὶ τῶν τε Εἱλώτων καὶ τῶν περιοίκων ἀπέστησαν. καὶ καταλαβόντες ὄρος ὑψηλὸν τῆς Μεσσηνίας ὀνόματι Ἰθώμην ἔρυμα ἐν αὐτῷ ἐτειχίσαντο. ἔδει δὲ ἄρα τοὺς Λακεδαιμονίους, πρὶν ἀμῦναι τοῖς Θασίοις τοὺς ἐν Ἰθώμῃ πρότερον καταστρέφεσθαι. οὐ γὰρ ἀσφαλὲς ἦν αὐτοῖς πολεμίους μὲν πλησίον καθιδρυμένους περιορᾶν, φίλων δὲ ἕνεκα ἄπωθεν ὄντων στρατείας ἐς τὴν ἀλλοτρίαν ποιεῖσθαι.

3. *Thasos yields. Athens helps Sparta to reduce Ithome.*

222. πρὸς μὲν οὖν τοὺς ἐν Ἰθώμῃ πόλεμος καθειστήκει τοῖς Λακεδαιμονίοις. Θάσιοι δὲ τρίτῳ ἔτει πολιορκούμενοι ὁμολογίαν ἐποιήσαντο τοῖς Ἀθηναίοις, καὶ ὑπέσχοντο τεῖχός τε καθαιρήσειν, καὶ ναῦς παραδώσειν, χρήματα δὲ ὅσα ἔδει ἀποδώσειν αὐτίκα, καὶ τὸ λοιπὸν φόρον ὑποτελέσειν. ἀφίεσαν δὲ τό τε μέταλλον καὶ τὰ ἄλλα ὅσα εἶχον ἐν τῇ ἠπείρῳ. οἱ δὲ Λακεδαιμόνιοι ὡς ἐμηκύνετο αὐτοῖς ὁ πρὸς τοὺς ἐν Ἰθώμῃ πόλεμος ἄλλους τε ἐπεκαλέσαντο συμμάχους καὶ τοὺς Ἀθηναίους. οἱ δὲ ἦλθον πλήθει

οὐκ ὀλίγῳ, ἐστρατήγει δὲ αὐτῶν ὁ **Κίμων**. μάλιστα δὲ αὐτοὺς ἐπεκαλέσαντο οἱ Λακεδαιμόνιοι ὅτι ἐκεῖνοι μὲν ἐδόκουν δυνατοὶ εἶναι τειχομαχεῖν, αὐτοὶ δὲ ἧσσον.

4. *Mistrust. A rude dismissal.*

223. καὶ διαφορὰ πρῶτον Λακεδαιμονίοις καὶ Ἀθηναίοις φανερὰ ἐγένετο ἐκ ταύτης τῆς στρατείας. οἱ γὰρ Λακεδαιμόνιοι, ἐπειδὴ τὸ χωρίον βίᾳ οὐχ ἡλίσκετο, μόνους τῶν συμμάχων τοὺς Ἀθηναίους ἀπέπεμψαν. ταῦτα δὲ ἐποίησαν δείσαντες αὐτούς, μὴ (ἐὰν παραμείνωσι) ποιήσωσί τι νεώτερον πεισθέντες ὑπὸ τῶν ἐν Ἰθώμῃ. ἡγήσαντο γὰρ αὐτοὺς τολμηρούς τε φύσει εἶναι καὶ ἅμα ἀλλοφύλους. οὐ μέντοι ἐδήλωσαν αὐτοῖς τὴν ὑποψίαν ταύτην, ἀλλ' ἔφασκον ὡς οὐκέτι αὐτῶν οὐδὲν προςδέονται. ᾔσθοντο δὲ οἱ Ἀθηναῖοι ὅτι οὐ διὰ ταῦτα ἀποπέμπονται, διὰ δὲ ὑποψίαν τινὰ γενομένην. λυπούμενοι δ' οὖν καὶ οὐκ ἀξιώσαντες τοῦτο παθεῖν ὑπὸ Λακεδαιμονίων διενοοῦντο αὐτίκα τιμωρίαν λαβεῖν.

5. *Athens and Sparta separate. Ithome surrenders. Megara joins Athens.*

224. εὐθὺς οὖν ἐπειδὴ ἀνεχώρησαν, οἱ Ἀθηναῖοι ἀφεῖσαν μὲν τὴν συμμαχίαν ἣν εἶχον πρὸς τοὺς Λακεδαιμονίους, τοῖς δὲ ἐκείνων πολεμίοις Ἀργείοις σύμμαχοι ἐγένοντο. τῆς δὲ συμμαχίας ταύτης μετέσχον καὶ οἱ Θεσσαλοί. οἱ δὲ ἐν Ἰθώμῃ, ὡς οὐκέτι ἐδύναντο ἀντέχειν, δεκάτῳ ἔτει συνέβησαν πρὸς τοὺς Λακεδαιμονίους, καὶ ἐξῆλθον ἐκ Πελοποννήσου ὑπόσπονδοι. ὑπέσχοντο δὲ μηδέποτε κατιέναι, ἣν δέ τις ἁλίσκηται τοῦτο ποιήσας δοῦλον ἔσεσθαι τοῦ λαβόντος. ἐξῆλθον δὲ αὐτοὶ καὶ παῖδες καὶ γυναῖκες, οἱ δὲ Ἀθηναῖοι αὐτοὺς ἐδέξαντο κατὰ ἔχθος Λακεδαιμονίων, καὶ κατῴκισαν αὐτοὺς ἐς Ναύ-

πακτον, ἣν ἔτυχον νεωστὶ ᾑρηκότες. ἀποστάντες δὲ τῶν Λακεδαιμονίων καὶ οἱ Μεγαρῆς τοῖς Ἀθηναίοις σύμμαχοι ἐγένοντο.

6. *Megara drags Athens into a quarrel with Corinth.*

225. τὸ δὲ αἴτιον τῆς τῶν Μεγαρέων ἀποστάσεως τοιόνδε ἦν. εἶχον διαφοράν τινα περὶ γῆς ὅρων τοῖς Κορινθίοις, συμμάχοις τότε οὖσι τῶν Λακεδαιμονίων, οἱ δὲ Κορίνθιοι διὰ ταῦτα κατεῖχον αὐτοὺς πολέμῳ. προσεχώρησαν οὖν τοῖς Ἀθηναίοις· οἱ δὲ ὠφέλειάν τε ἔπεμψαν, καὶ ᾠκοδόμησαν τοῖς Μεγαρεῦσι τὰ μακρὰ τείχη τὰ ἀπὸ τῆς πόλεως ἐς τὸν λιμένα, καὶ ἔστησαν ἐν αὐτοῖς φρουρὰν. αἰσθόμενοι δὲ ταῦτα οἱ Κορίνθιοι ἤχθοντο, καὶ τὸ πρᾶγμα βαρέως ἔφερον. οὐ μέντοι ἐτόλμων ἐν τῷ παρόντι ποιεῖσθαι πρὸς τὰ τείχη προσβολήν. καὶ ἀπὸ τοῦδε οὐχ ἥκιστα τὸ σφοδρὸν μῖσος τῶν Κορινθίων ἐς τοὺς Ἀθηναίους ἤρξατο πρῶτον γενέσθαι.

TROUBLES IN CORCYRA.

1. *Prosecution of Peithias, and his revenge.*

226. ἐστασίαζόν ποτε οἱ Κερκυραῖοι· ἐφρόνει γὰρ ὁ μὲν δῆμος τὰ τῶν Ἀθηναίων, οἱ δὲ ὀλίγοι αὖ τὰ τῶν Λακεδαιμονίων, οἵπερ τοῖς Ἀθηναίοις πολέμιοι τότε ἦσαν. προειστήκει δὲ τοῦ δήμου κατ᾽ ἐκεῖνον τὸν χρόνον Πειθίας τις, ἀνὴρ ἔντιμός τε ἐν τῇ πόλει καὶ τοῖς Ἀθηναίοις μάλιστα εὔνους. τοῦτον οὖν τὸν Πειθίαν οἱ ὀλίγοι ἐς δίκην ὑπάγουσι, λέγοντες ὡς πειρᾶται τὴν Κέρκυραν καταδουλοῦν τοῖς Ἀθηναίοις. ὁ δὲ ἀπέφυγέ τε τὴν δίκην ταύτην, καὶ ἐκείνους ἀνθυπήγαγε, φάσκων αὐτοὺς ἱεροσύλους εἶναι, ἐπεὶ χάρακας εἰώθασι τέμνειν ἐκ τοῦ Διὸς τεμένους. καὶ τῷ τοιαῦτα δράσαντι ζημία ἐπέκειτο, καθ᾽ ἑκάστην χάρακα στατήρ.

2. *The end of Peithias.*

227. ὀφλόντες δὲ οἱ ὀλίγοι τὴν δίκην ταύτην ἠθύμησαν διὰ πλῆθος τῆς ζημίας. καὶ ἐκαθέζοντο πρὸς τὰ ἱερὰ ἱκέται, βουλόμενοι μὴ συλλήβδην ἀλλὰ κατὰ μικρὸν ἀποδιδόναι τἀργύριον. πείθει δὲ τὴν πόλιν ὁ Πειθίας (ἐτύγχανε γὰρ βουλευτὴς ὤν), τοῦτο μὲν μὴ συγχωρῆσαι, τῷ δὲ νόμῳ χρήσασθαι. πρὸς ταῦτα οὖν οἱ ὀλίγοι συνίσταντο· καὶ λαβόντες ἐγχειρίδια, καὶ ἐς τὴν βουλὴν ἐξαπιναίως ἐσελθόντες, αὐτόν τε τὸν Πειθίαν κτείνουσι καὶ ἄλλους τῶν τε βουλευτῶν καὶ ἰδιωτῶν ἐς ἑξήκοντα. ἔπειτα δὲ συγκαλέσαντες τοὺς Κερκυραίους εἶπον, ὅτι βέλτιστά ἐστι ταῦτα, νῦν γὰρ δὴ ὑπ' Ἀθηναίων ἡ πόλις οὐ δουλωθήσεται.

3. *The Oligarchs get help from abroad.*

228. μετὰ δὲ ταῦτα ἦλθεν ἐς Κέρκυραν ἐκ Πελοποννήσου τριήρης Κορινθία καὶ πρέσβεις Λακεδαιμόνιοι. ἀφικομένη δὲ ἡ τριήρης τοὺς ὀλίγους ἐθάρσυνε, καὶ ἐπιτίθενται ἐκ τοῦ φανεροῦ τῷ δήμῳ, καὶ μαχόμενοι ἐνίκησαν. ἐπειδὴ δὲ νὺξ ἐγένετο, ὁ μὲν δῆμος ἐς τὴν ἀκρόπολιν καὶ τὰ μετέωρα τῆς πόλεως καταφεύγει, καὶ συλλεχθεὶς αὐτοῦ ἱδρύθη· οἱ δὲ ὀλίγοι τὴν ἀγορὰν κατέλαβον, οὗπερ οἱ πολλοὶ αὐτῶν ᾤκουν. τῇ δὲ ὑστεραίᾳ ἀκροβολισίς τις ἦν· καὶ ἀμφότεροι περιέπεμπον ἐς τοὺς ἀγροὺς, παρακαλοῦντες πρὸς ἑαυτοὺς τοὺς δούλους, καὶ ὑπισχνούμενοι ἐλευθερίαν. καὶ οἱ μὲν πολλοὶ τῶν οἰκετῶν συνεμαχέσαντο τῷ δήμῳ· τοῖς δὲ ὀλίγοις παρεγένοντο ἐκ τῆς ἠπείρου ἐπίκουροι ὀκτακόσιοι.

4. *The city set on fire.*

229. διαλιπούσης δὲ ἡμέρας, γίγνεται αὖθις μάχη· καὶ νικᾷ ὁ δῆμος, προέχων ἰσχύϊ τε χωρίων καὶ πλήθει

ἀνθρώπων. συνεπελάβοντο δὲ αὐτοῖς τολμηρῶς καὶ αἱ γυναῖκες, βάλλουσαι ἀπὸ τῶν οἰκιῶν τῷ κεράμῳ, καὶ παρὰ φύσιν ὑπομένουσαι τὸν θόρυβον. περὶ δὲ δείλην ὀψίαν τροπὴ τῶν ὀλίγων ἐγένετο, καὶ ἔδεισαν μὴ ὁ δῆμος ἐπελθὼν κρατήσειέ τε τῆς πόλεως αὐτοβοεὶ, καὶ σφᾶς διαφθείρειεν. ἐνέπρησαν οὖν τὰς οἰκίας τὰς περὶ τὴν ἀγορὰν, ὅπως μὴ ᾖ ἔφοδος, φειδόμενοι οὔτε οἰκείας οὔτε ἀλλοτρίας. ὥστε καὶ χρήματα πολλὰ ἐμπόρων κατεκαύθη, καὶ ἡ πόλις ἐκινδύνευσε πᾶσα διαφθαρῆναι, εἰ ἄνεμος τῇ φλογὶ ἐπεγένετο ἐπίφορος ἐς αὐτήν.

5. *Arrival of Nicostratus.*

230. τῇ δὲ ἐπιγιγνομένῃ ἡμέρᾳ ὁ τῶν Ἀθηναίων στρατηγὸς Νικόστρατος παραγίγνεται βοηθῶν τῷ δήμῳ. εἶχε δὲ μετ' αὐτοῦ δώδεκα ναῦς, καὶ Μεσσηνίων πεντακοσίους ὁπλίτας. ἀφικόμενος δὲ πείθει ἀμφοτέρους, ὥστε σύμβασιν ποιῆσαι καὶ σπονδὰς πρός τε ἀλλήλους καὶ πρὸς Ἀθηναίους. πράξας δὲ ταῦτα ἔμελλεν ἀποπλεύσεσθαι. ὁ δὲ δῆμος πείθει αὐτὸν καταλιπεῖν σφίσι πέντε ναῦς, ὅπως οἱ ἐναντίοι ἡσυχίαν μᾶλλον ἄγωσιν. ὑπέσχοντο δὲ αὐτῷ ἄλλας πέντε ναῦς ἐκ σφῶν αὐτῶν πληρώσαντες συμπέμψειν. καὶ ὁ μὲν συνεχώρησεν, οἱ δὲ, τὰς ναῦς παρασκευάσαντες, ἐκέλευόν τινας τῶν ὀλίγων ἐς αὐτὰς ἀναβαίνειν. ἐκεῖνοι δὲ δείσαντες μὴ ἀποπεμφθῶσιν ἐς Ἀθήνας καθίζουσιν ἐς ἱερόν τι ἱκέται.

6. *Harsh measures against the Oligarchs.*

231. Νικόστρατος δὲ αὐτοὺς παρεμυθεῖτο. ὡς δὲ οὐκ ἔπειθεν, ὁ δῆμος ἐπ' αὐτοὺς ὡπλίσθη, φάσκων ὡς διανοοῦνται οὐδὲν ὑγιὲς, εἰ μὴ βούλονται πλεῖν. ἔλαβον οὖν αὐτῶν τὰ ὅπλα ἐκ τῶν οἰκιῶν, καὶ διέφθειραν ἂν αὐτῶν τινας, οἷς ἐπέτυχον, εἰ μὴ Νικόστρατος ἐκώλυσεν. πρὸς

δὲ ταῦτα καὶ οἱ ἄλλοι ὀλίγοι ὁρῶντες τὰ γιγνόμενα ἐφοβήθησαν. καθίζουσιν οὖν καὶ αὐτοὶ ἐς τὸ Ἡραῖον ἱκέται, καὶ γίγνονται οὐκ ἐλάσσους τετρακοσίων. ἐνταῦθα δὲ καὶ ὁ δῆμος ἔδεισε, μὴ νεωτερίσωσί τι, καὶ ἀνίστησί τε τοὺς ἱκέτας, καὶ διακομίζει αὐτοὺς ἐς νῆσόν τινα, ἥπερ πρὸ τοῦ Ἡραίου κεῖται. καὶ τὰ ἐπιτήδεια ἐκεῖσε αὐτοῖς διεπέμπετο.

7. *Peloponnesians intervene.*

232. μετὰ δὲ ταῦτα, τετάρτῃ ἢ πέμπτῃ ἡμέρᾳ μετὰ τὴν διακομιδὴν τῶν ἀνδρῶν ἐς τὴν νῆσον, νῆες Πελοποννησίων παραγίγνονται ἐς Κέρκυραν τρεῖς καὶ πεντήκοντα. ἦρχε δὲ αὐτῶν Ἀλκίδας, καὶ Βρασίδας αὐτῷ σύμβουλος ἐπέπλει. οἱ δὲ Κερκυραῖοι πολλῷ θορύβῳ καὶ πεφοβημένοι παρεσκευάζοντό τε ἑξήκοντα ναῦς, καὶ ἐξέπεμπον αὐτὰς κατὰ μίαν, ὡς ἑκάστη ἐπληρώθη. οἱ δὲ Ἀθηναῖοι παραινοῦσι πρῶτον μὲν ἐὰν σφᾶς ἐκπλεῦσαι, ὕστερον δὲ καὶ ἐκείνους πάσαις ἅμα ταῖς ναυσὶν ἐπιγενέσθαι. ὡς δὲ αὐτοῖς αἱ νῆες σποράδες ἦσαν πρὸς τοὺς πολεμίους, δύο μὲν εὐθὺς αὐτομολοῦσιν, ἐν ἑτέραις δὲ οἱ ἐμπλέοντες ἀλλήλοις μάχονται, ἦν δὲ οὐδεὶς κόσμος τῶν ποιουμένων.

8. *Sea-fight.*

233. ἰδόντες δὲ οἱ Πελοποννήσιοι τὴν ταραχὴν εἴκοσι μὲν ναυσὶν ἐτάξαντο πρὸς τοὺς Κερκυραίους, ταῖς δὲ λοιπαῖς πρὸς τὰς δώδεκα ναῦς τῶν Ἀθηναίων. καὶ οἱ μὲν Κερκυραῖοι κατ' ὀλίγας προςπίπτοντες ἐταλαιπωροῦντο. οἱ δὲ Ἀθηναῖοι φοβούμενοι τὸ πλῆθος τῶν ἐναντίων οὐ κατὰ μέσον προςέπιπτον αὐτοῖς, κατὰ δὲ κέρας προςβαλόντες καταδύουσι μίαν ναῦν. οἱ δὲ πρὸς τοὺς Κερκυραίους μαχόμενοι, ἰδόντες ταῦτα, ἐπιβοηθοῦσι· καὶ γενόμεναι ἀθρόαι αἱ νῆες τοῖς Ἀθηναίοις ἅμα ἐπέπλεον.

οἱ δὲ πρύμναν κρουόμενοι ὑπεχώρουν ὅτι μάλιστα σχολῇ, ἵνα, τῶν πολεμίων πρὸς σφᾶς τεταγμένων, προκαταφύγοιεν οἱ Κερκυραῖοι. ἡ μὲν οὖν ναυμαχία τοιαύτη ἐγένετο. ἐτελεύτα δὲ ἐς ἡλίου δύσιν.

9. *After the battle.*

234. ἔδεισαν οὖν οἱ Κερκυραῖοι μὴ ἐπιπλεύσωσιν ἐπὶ τὴν πόλιν οἱ πολέμιοι ὡς κρατοῦντες, ἢ τοὺς ἱκέτας ἐκ τῆς νήσου ἀναλάβωσιν, ἢ καὶ ἄλλο τι νεωτερίσωσιν. διεκόμισαν οὖν πάλιν τοὺς ἱκέτας ἐς τὸ Ἡραῖον, καὶ τὴν πόλιν ἐφύλασσον. οἱ δὲ ἐναντίοι ἐπὶ μὲν τὴν πόλιν πλεῦσαι οὐκ ἐτόλμησαν, ἀπέπλευσαν δὲ ἐς τὴν ἤπειρον, ἔχοντες τῶν Κερκυραίων τρεῖς καὶ δέκα ναῦς. ἀλλ' οὐδὲ τῇ ὑστεραίᾳ οὐδὲν μᾶλλον ἐπέπλεον ἐπὶ τὴν πόλιν. ὁ μὲν γὰρ Βρασίδας (ὡς λέγεται) ταῦτα παρῄνει, ὁ δὲ Ἀλκίδας οὐκ ἐπείθετο. ἀπέβησαν οὖν μόνον ἐπὶ τὴν Λευκίμμην τὸ τῆς νήσου ἀκρωτήριον, καὶ ἐπόρθουν ἐκεῖ τοὺς ἀγρούς.

10. *Peloponnesians withdraw.*

235. ὁ δὲ δῆμος τῶν Κερκυραίων ἐν τούτῳ ἐγένετο περιδεής, μὴ οἱ πολέμιοι σφίσιν ἐπιπλεύσωσιν. ᾖεσαν οὖν ἐς λόγους τοῖς ἱκέταις, καὶ τοῖς ἄλλοις τῶν ὀλίγων ὅπως σωθήσεται ἡ πόλις. ἔπεισαν δε τινας αὐτῶν ἐς τὰς ναῦς ἐσβῆναι. προσδεχόμενοι γὰρ τὸν ἐπίπλουν ἐπλήρωσαν τριάκοντα. οἱ δὲ Πελοποννήσιοι δῃώσαντες τὴν γῆν μέχρι μέσου ἡμέρας ἀπέπλευσαν. καὶ ὑπὸ νύκτα φρυκτωροῦνται αὐτοῖς ἑξήκοντα νῆες Ἀθηναίων προσπλέουσαι ἀπὸ Λευκάδος. εὐθὺς οὖν τῆς νυκτὸς οἱ πολέμιοι ἐκομίζοντο ἐπ' οἴκου ὅ,τι τάχιστα παρὰ τὴν γῆν. καὶ ὑπερενεγκόντες τὰς ναῦς τὸν τῶν Λευκαδίων ἰσθμόν, ὅπως μὴ ὀφθῶσι τοῖς Ἀθηναίοις περιπλέοντες αὐτόν, ἀποκομίζονται.

11. *Massacre of the Oligarchs.*

236. Κερκυραῖοι δὲ, αἰσθόμενοι τάς τε Ἀττικὰς ναῦς προςπλεούσας τάς τε τῶν πολεμίων οἰχομένας, θαρσύνονταί τε καὶ τοῖς ὀλίγοις ὠμῶς ἐπιφέρονται. καὶ γὰρ ἐν αὐτῇ τῇ πόλει εἴ τινα αὐτῶν λάβοιεν, ἀπέκτεινον· ὅσους δὲ ἔπεισαν ἐςβῆναι ἐς τὰς ναῦς, ἐκβιβάζοντες διεχρῶντο. ἔπειτα δὲ, ἐλθόντες ἐς τὸ Ἡραῖον, πείθουσι τῶν ἐκεῖ ἱκετῶν ὡς πεντήκοντα ἐξιέναι, ἵνα δικασθῶσι· καὶ κατέγνωσαν πάντων θάνατον. οἱ δὲ πολλοὶ τῶν ἱκετῶν ἐξιέναι μὲν οὐκ ἐπείσθησαν· τὰ δὲ γιγνόμενα ἰδόντες, αὐτοῦ ἐν τῷ ἱερῷ ἀλλήλους διέφθειρον. ἔνιοι δὲ καὶ ἐκ τῶν δένδρων ἀπήγχοντο, καὶ ἰδέα πᾶσα θανάτου κατέστη, ὡς γὰρ ἕκαστοι ἐδύναντο, ἀνηλίσκοντο.

12. *The refugees.*

237. ὁ μὲν οὖν δῆμος τῶν Κερκυραίων τοιαύταις ὀργαῖς ἐχρήσατο ἐς τοὺς ὀλίγους. ὕστερον δὲ οἱ φεύγοντες τούτων, (διεσώθησαν γὰρ αὐτῶν ἐς πεντακοσίους), τείχη τινα ἔλαβον, ἃ ἦν ἐν τῇ ἠπείρῳ. ὁρμώμενοι δὲ ἐκ τούτων ἐληίζοντο τοὺς ἐν τῇ νήσῳ, καὶ πολλὰ ἔβλαπτον, ὥστε ἐγένετο ἐν τῇ πόλει λιμὸς ἰσχυρός. ὕστερον δὲ, πλοῖα παρασκευασάμενοι καὶ ἐπικούρους, διέβησαν ἐς τὴν νῆσον, γενόμενοι ἑξακόσιοι μάλιστα οἱ πάντες. ταῦτα δὲ ποιήσαντες αὐτοὶ τὰ πλοῖα ἐνέπρησαν, ὅπως μηκέτι ἔχωσι κάθοδον, ἀλλ' ἀναγκασθῶσι κρατεῖν τῆς γῆς. ἔπειτα δὲ ἀναβάντες ἐς τὸ ὄρος τὴν Ἰστώνην καὶ ἐνοικοδομησάμενοι ἐν αὐτῷ τεῖχος, ἔφθειρόν τε τοὺς ἐν τῇ πόλει, καὶ τῆς γῆς ἐκράτουν.

13. *Help arrives from Athens. A treaty.*

238. ἀφικνοῦνται δὲ μετὰ ταῦτα ἐς Κέρκυραν Εὐρυμέδων καὶ Σοφοκλῆς, ναύαρχοι ὄντες τῶν Ἀθηναίων.

ἐστράτευσαν δὲ μετὰ τῶν πολιτῶν ἐπὶ τοὺς ἐν τῇ Ἰστώνῃ, καὶ τὸ τείχισμα προςβαλόντες εἷλον. καταπεφευγότες δὲ ἐκεῖνοι ἀθρόοι ἐς μετέωρόν τι σύμβασιν ποιοῦνται. καὶ ὑπέσχοντο παραδώσειν μὲν τοὺς ἐπικούρους, αὐτοὶ δὲ τὰ ὅπλα παραδόντες μενεῖν, ἕως ὁ Ἀθηναίων δῆμος περὶ αὐτῶν διαγνοίη. ἐπὶ τούτοις οὖν οἱ στρατηγοὶ διεκόμισαν αὐτοὺς ἐς νῆσόν τινα ἐς φυλακὴν ὑποσπόνδους, λέγοντες ὡς, ὅταν καιρὸς ᾖ, πέμψουσιν αὐτοὺς Ἀθήναζε, ἢν δὲ ἐν τῷ μεταξύ τις ἁλῷ ἀποδιδράσκων, αἱ σπονδαὶ αὐτίκα πᾶσι λελύσονται. τοιαύτη οὖν ὁμολογία ἐγένετο.

14. *Stratagem of the Democratical leaders.*

239. οἱ δὲ τοῦ δήμου προστάται, δεδιότες μὴ οἱ Ἀθηναῖοι τοὺς ἐν τῇ νήσῳ οὐκ ἀποκτείνωσι, μηχανῶνται τοιόνδε τι. ὑποπέμπουσι πρὸς αὐτοὺς ἀνθρώπους τινὰς, προσποιουμένους φίλους δὴ εἶναι, καὶ λέγειν κατ' εὔνοιαν, ὃ κράτιστον εἴη αὐτοῖς ἐν τῷ παρόντι ποιεῖν. ἐκέλευσαν οὖν αὐτοὺς ἀποδρᾶναι ὡς τάχιστα· μέλλειν γὰρ δὴ τοὺς στρατηγοὺς τῶν Ἀθηναίων παραδώσειν αὐτοὺς τῷ δήμῳ τῶν Κερκυραίων. ἅμα δὲ καὶ πλοῖόν τι ἐμηχανήσαντο, καὶ διακομίσαντες αὐτὸ ἐς τὴν νῆσον ἐκέλευσαν τοὺς φυγάδας τούτῳ χρωμένους διασώζεσθαι. οἱ δὲ ἀκούσαντες ταῦτα καὶ τὸ πλοῖον ἰδόντες ἐπείσθησαν. καὶ ἐκπλέοντες αὐτίκα ἐλήφθησαν ὑπὸ τῶν Ἀθηναίων καὶ τοῖς Κερκυραίοις ἅπαντες παρεδόθησαν.

15. *Running the gauntlet.*

240. παραλαβόντες δὲ αὐτοὺς οἱ Κερκυραῖοι ἐς οἴκημα μέγα καθεῖρξαν. καὶ ὕστερον, ἐξάγοντες αὐτοὺς κατὰ εἴκοσιν ἄνδρας, διῆγον αὐτοὺς δεδεμένους πρὸς ἀλλήλους διὰ δυοῖν στοίχοιν ὁπλιτῶν ἑκατέρωθεν παρατεταγμένων. οἱ δὲ ὁπλῖται ἔπαιον αὐτοὺς καὶ ἐκέντουν, εἴ τίς πού τινα

ἴδοι ἐχθρὸν ἑαυτοῦ. παριόντες δὲ καὶ μαστιγοφόροι ἐπετάχυνον τοὺς βραδύτερον προσιόντας. καὶ τούτῳ τῷ τρόπῳ ἐς ἑξήκοντα ἄνδρας ἐξήγαγον καὶ διέφθειραν. οἱ δὲ ὑπόλοιποι τὸ μὲν πρῶτον ἠγνόουν τὰ γιγνόμενα, ἔπειτα δὲ, ὡς ᾔσθοντο, ἐπεκαλοῦντο τοὺς Ἀθηναίους, καὶ ἐκέλευον σφᾶς (εἰ βούλονται) αὐτοὺς διαφθείρειν. ἐκ δὲ τοῦ οἰκήματος οὐκέτι ἤθελον ἐξιέναι, ἔφασαν δὲ ὅτι οὐδὲ ἐσιέναι οὐδένα περιόψονται κατὰ δύναμιν.

16. *The end of the Oligarchs.*

241. οἱ δὲ Κερκυραῖοι κατὰ μὲν τὰς θύρας οὐ διενοοῦντο βιάζεσθαι, ἀναβάντες δὲ ἐπὶ τὸ τέγος τοῦ οἰκήματος, καὶ διελόντες τὴν ὀροφὴν, ἔβαλλον τῷ κεράμῳ, καὶ ἐτόξευον κάτω. ἐφυλάσσοντο τοίνυν ἐκεῖνοι, ὡς ἐδύναντο, οἱ δὲ πολλοὶ σφᾶς αὐτοὺς διέφθειρον, ὅπως μὴ ληφθῶσιν. καὶ καθίεσαν ἐς τὰς ἑαυτῶν σφαγὰς τοὺς οἰστοὺς, οὓς ἐκεῖνοι ἀφίεσαν· καὶ ἐξελόντες ἐκ τῶν κλινῶν τὰ σπάρτα, καὶ ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες, ἀπήγχοντο. οὕτως οὖν τὸ πολὺ τῆς νυκτὸς, ἀναλοῦντες σφᾶς αὐτοὺς, καὶ βαλλόμενοι ὑπὸ τῶν ἄνω, διεφθάρησαν. ἡμέρας δὲ γενομένης οἱ Κερκυραῖοι, ἐπιβαλόντες τοὺς νεκροὺς ἐπὶ ἁμάξας, ἔξω τῆς πόλεως αὐτοὺς ἀπήγαγον.

FAILURE OF THE ATHENIAN EXPEDITION TO SICILY.

1. *The besiegers besieged.*

242. νικήσαντες δὲ ἐν τῇ ναυμαχίᾳ ταύτῃ οἱ Συρακόσιοι ἐθάρσουν. καὶ διενοοῦντο ἤδη ἑλεῖν τοὺς Ἀθηναίους ἅπαντας, καὶ μήτε διὰ θαλάσσης μήτε τῷ πεζῷ ἐᾶσαι αὐτοὺς διαφυγεῖν. ἔκλῃον οὖν εὐθὺς τὸν λιμένα τὸν μέγαν, ὁρμίζοντες ἐπ' ἀγκυρῶν τριήρεις καὶ πλοῖα καὶ ἀκάτια·

ἄλλα δὲ πολλὰ παρεσκευάζοντο, ἣν οἱ Ἀθηναῖοι ναυμαχεῖν ἔτι τολμήσωσιν.

ἰδόντες δὲ ἐκεῖνοι τὴν τοῦ λιμένος ἀπόκλῃσιν, ἐνόμισαν εὐθὺς ὅτι ἀδύνατον σφίσιν ἐστι σωθῆναι, εἰ μὴ ναυκρατήσουσιν. ἐπλήρωσαν οὖν τὰς ναῦς πάσας, ἀναγκάσαντες ἐςβαίνειν ὅστις καὶ ὁπωσοῦν ἐπιτήδειος εἶναι ἐδόκει. τοξότας δὲ ἐπ' αὐτὰς πολλοὺς ἐβίβαζον, καὶ τἄλλα ὡς οἷόν τε ἦν ἐπορίσαντο.

2. *Preparations for battle.*

243. ὁρῶν δὲ ὁ τῶν Ἀθηναίων στρατηγὸς Νικίας οἷος ὁ κίνδυνός ἐστιν, συνεκάλεσε τοὺς στρατιώτας πάντας, καὶ παρεκελεύσατο κατὰ τὸ δυνατόν. ταῦτα δὲ ποίησας ἦγε τὸν πεζὸν πρὸς τὴν θάλασσαν, καὶ παρέταξεν ὅπως ὅτι μεγίστη ὠφέλεια γενοιτο τοῖς ἐν ταῖς ναυσίν. ὁ δὲ Δημοσθένης καὶ οἱ ἄλλοι στρατηγοὶ ἐπέβησαν ἐπὶ τὰς ναῦς· καὶ ἄραντες ἀπὸ τοῦ ἑαυτῶν στρατοπέδου ἔπλεον εὐθὺς πρὸς τὸ ζεῦγμα τοῦ λιμένος, βουλόμενοι βιάσασθαι ἐς τὸ ἔξω.

προεξαναγόμενοι δὲ οἱ Συρακόσιοι ἐφύλασσον κατά τε τὸν ἔκπλουν, καὶ κατὰ τὸν ἄλλον κύκλῳ λιμένα, ὅπως πανταχόθεν ἅμα προςπίπτοιεν τοῖς Ἀθηναίοις, καὶ ὁ πεζὸς αὐτοῖς ἅμα παρεβοήθει.

3. *The sea-fight.*

244. ἐπειδὴ δὲ οἱ Ἀθηναῖοι προςέμισγον τῷ ζεύγματι, τῇ πρώτῃ ῥύμῃ ἐπιπλέοντες ἐκράτουν τῶν νεῶν τῶν τεταγμένων πρὸς αὐτῷ. εὐθὺς οὖν ἐπειρῶντο λύειν τὰς κλῄσεις, ἵνα ἔξοδος αὐτοῖς εἴη. μετὰ δὲ τοῦτο οἱ Συρακόσιοι ἐπεφέροντο πανταχόθεν, καὶ οὐκέτι μόνον πρὸς τῷ ζεύγματι ἡ ναυμαχία ἐγένετο, ἀλλὰ καὶ κατὰ τὸν λιμένα πανταχοῦ. ἀντηγωνίζοντο δὲ κρατερῶς, πολλὴ γὰρ ἀμφο-

τέροις ἡ τῶν ναυτῶν προθυμία ἦν, πολλὴ δὲ ἡ ἀντιτέχνησις τῶν κυβερνητῶν καὶ ἀγωνισμὸς πρὸς ἀλλήλους. ἐναυμάχησαν οὖν ἐν ὀλίγῳ πολλαὶ νῆες, ἐγένοντο γὰρ συναμφότεροι σχεδὸν διακόσιαι. καὶ ὁ κτύπος μέγας ἦν, συμπιπτουσῶν τε τῶν νεῶν, καὶ βοώντων τῶν κελευστῶν.

4. *Feelings of those who watched the sea-fight.*

245. ἕως δὲ ἔτι ἰσόρροπος ἡ ναυμαχία ἦν, ὁ ἐν τῇ γῇ πεζὸς ἀμφοτέρων πολλὴν τὴν σύστασιν τῆς γνώμης εἶχεν. οἱ δὲ Ἀθηναῖοι διὰ τὸ μέγεθος τοῦ κινδύνου καὶ μάλιστα ἐκινοῦντο. καὶ τότε μὲν ἐς τὸ ἔσχατον ἦλθον φόβου, τότε δὲ ἐς ἐλπίδα μετέστησαν. δι' ὀλίγου δὲ οὔσης τῆς θέας, εἴ τινες ἴδοιέν πη τοὺς σφετέρους κρατοῦντας, ἐθάρσουν καὶ ἐτρέποντο πρὸς ἀνάκλησιν θεῶν μὴ στερῆσαι σφᾶς τῆς σωτηρίας. ἐπειδὴ δὲ ἑκάτεροι τῇ μὲν ἐκράτουν, τῇ δὲ ἐπιέζοντο, οἱ δὲ ἐν τῇ γῇ οὐ πάντες ἅμα ἐς τὸ αὐτὸ ἐσκόπουν, βοὴ ἐν τούτοις καὶ ὀλοφυρμὸς ὁμοῦ ἦν ἀκοῦσαι, καὶ ἄλλα ὅσα πολυειδῆ ἐν μεγάλῳ κινδύνῳ μέγας στρατὸς φθέγγεται.

5. *End of the sea-fight.*

246. τῆς δὲ ναυμαχίας ἐπὶ πολὺ ἀντισχούσης, οἱ Συρακόσιοι ἔτρεψάν τε τοὺς Ἀθηναίους, καὶ ἐπικείμενοι, πολλῇ κραυγῇ καὶ διακελευσμῷ χρώμενοι, ἐδίωκον αὐτοὺς ἐς τὴν γῆν. τότε δὲ ὁ μὲν ναυτικὸς στρατὸς, ἄλλος ἄλλῃ, κατέφυγον ἐς τὸ στρατόπεδον, ὅσοι μὴ μετέωροι ἑάλωσαν. ὁ δὲ πεζὸς, οὐκέτι διαφόρως ἀλλ' ἀπὸ μιᾶς ὁρμῆς, ἐξερράγησαν ὀλοφυρόμενοι καὶ κλαίοντες. καὶ ἔκπληξις πανταχοῦ μεγίστη ἦν.

γενομένης δὲ ἰσχυρᾶς τῆς ναυμαχίας, πολλαὶ νῆες ἀμφοτέροις καὶ ἄνθρωποι ἀπώλοντο. καὶ οἱ μὲν Συρακόσιοι ἀνείλοντο τά τε ναυάγια καὶ τοὺς νεκροὺς, καὶ

ἀποπλεύσαντες πρὸς τὴν πόλιν τροπαῖον ἔστησαν. οἱ δὲ Ἀθηναῖοι ἀθυμοῦντες τῆς νυκτὸς ἐβουλεύοντο εὐθὺς ἀναχωρεῖν.

6. *Hermocrates wants to stop the Athenians' retreat.*

247. ὑπενόησε δὲ Ἑρμοκράτης ὁ Συρακόσιος ὅτι οἱ Ἀθηναῖοι μέλλουσιν ἀπιέναι. καὶ δεινὸν αὐτῷ ἐδόκει εἶναι, εἰ τοσαύτη στρατιὰ κατὰ γῆν ὑποχωρήσει, καὶ καθεζομένη ποι ποιήσει σφίσιν αὖθις πόλεμον. ἐκέλευσεν οὖν τοὺς Συρακοσίους πάντας ἐξιέναι σὺν τοῖς συμμάχοις, καὶ τὰ στενόπορα πάντα καὶ τὰς ὁδοὺς φθάσαντας φυλάσσειν. οἱ δὲ ἄρχοντες ἀντεῖπον, ὅτι ἄπορα ταῦτά ἐστι διὰ τόδε. θυσία ἦν ταύτην τὴν ἡμέραν ἐν τῇ πόλει, καὶ οἱ πολλοὶ τῶν πολιτῶν ὑπὸ τοῦ περιχαροῦς τῆς νίκης τετραμμένοι ἦσαν εἰς πόσιν ἐν τῇ ἑορτῇ. ἐφαίνετο οὖν ἄελπτον εἶναι, ὡς πείσονται οὗτοι ὅπλα αὖθις λαβεῖν ἐν τῷ παρόντι καὶ ἐξελθεῖν.

7. *Hermocrates lays a trap, and the Athenians fall into it.*

248. ὁ δὲ Ἑρμοκράτης, ὡς τοὺς ἄρχοντας οὐκ ἔπειθεν, αὐτὸς ἐπὶ τούτοις μηχανᾶται τάδε. πέμπει τινὰς τῶν ἑαυτοῦ ἑταίρων μετὰ ἱππέων πρὸς τὸ τῶν Ἀθηναίων στρατόπεδον ἡνίκα συνεσκόταζεν. οἱ δὲ προσελάσαντες ἀνεκαλέσαντό τινας, ὡς ἐπιτήδειοι δὴ ὄντες τῶν Ἀθηναίων. ὁ γὰρ Νικίας φίλους τινὰς εἶχεν ἐν τῇ πόλει, οἵπερ εἰώθεσαν αὐτῷ διαγγέλλειν τὰ ἔνδοθεν. ἐκέλευον οὖν οἱ πεμφθέντες φράζειν τῷ Νικίᾳ μὴ ἀπάγειν τὸ στράτευμα τῆς νυκτὸς, ὡς Συρακοσίων τὰς ὁδοὺς φυλασσόντων, ἀλλὰ τῆς ἡμέρας ἀποχωρεῖν καθ' ἡσυχίαν. οὗτοι οὖν τοσαῦτα εἰπόντες ἀπῆλθον· οἱ δὲ ἀκούσαντες διήγγειλαν τοῖς στρατηγοῖς· καὶ ἐκεῖνοι, νομίσαντες ἀπάτην οὐκ εἶναι, τὴν νύκτα αὐτόθι ἐπέσχον.

8. *The Syracusans prepare to cut off the Athenians' retreat.*

249. ὕστερον δέ, ἐπειδὴ οὐκ εὐθὺς ὥρμησαν, ἔδοξε τοῖς Ἀθηναίοις περιμεῖναι καὶ τὴν ἐπιοῦσαν ἡμέραν, ὅπως συσκευάσαιντο κατὰ τὸ δυνατὸν τὰ χρησιμώτατα. οἱ δὲ Συρακόσιοι ἐν τῷ μεταξὺ προεξελθόντες ἀπεφράγνυσαν τὰς ὁδοὺς κατὰ τὴν χώραν, ᾗ εἰκὸς ἦν τοὺς Ἀθηναίους ἰέναι. ἐφύλασσον δὲ καὶ τῶν ῥείθρων καὶ ποταμῶν τὰς διαβάσεις· καὶ ἐτάσσοντο ᾗ ἐδόκει ὡς τὸ στράτευμα κωλύσοντες. ἅμα δὲ ταῖς ναυσὶ προσπλεύσαντες ἀφεῖλκον ἀπὸ τοῦ αἰγιαλοῦ τὰς ναῦς τῶν Ἀθηναίων. καί τινας μὲν τούτων οἱ Ἀθηναῖοι διὰ φόβον αὐτοὶ ἐνέπρησαν. τὰς δὲ ἄλλας οἱ Συρακόσιοι, οὐδενὸς κωλύοντος, ἔλαβον καθ' ἡσυχίαν, καὶ ἀναδησάμενοι ἐκόμιζον ἐς τὴν πόλιν.

9. *The Athenians begin their retreat.*

250. ἐπειδὴ οὖν πάντα παρεσκεύαστο, ἡ ἀνάστασις ἐγένετο τῶν Ἀθηναίων τρίτῃ ἡμέρᾳ ἀπὸ τῆς ναυμαχίας. οἱ δὲ στρατηγοὶ ἐποίουν τοῦ στρατεύματος μέρη δύο, πρῶτον μὲν ἡγούμενον τὸ Νικίου, ἑπόμενον δὲ τὸ Δημοσθένους. καὶ ἐπειδὴ ἐγένοντο ἐπὶ τῇ διαβάσει τοῦ Ἀνάπου ποταμοῦ, εὗρον ἐπ' αὐτῷ τινας τῶν Συρακοσίων παρατεταγμένους, καὶ τρέψαντες αὐτοὺς ἐκράτησαν τοῦ πόρου, καὶ ἐχώρουν ἐς τὸ πρόσθεν. οἱ δὲ Συρακόσιοι αὐτοῖς αὖθις ἐπέκειντο παριππεύοντες καὶ ἀκοντίζοντες. καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ οἱ Ἀθηναῖοι προῆλθον σταδίους τεσσαράκοντα, καὶ πρὸς λόφῳ τινὶ ηὐλίσαντο. τῇ δὲ ὑστεραίᾳ ἐπορεύοντο εἴκοσι σταδίους, καὶ καταβάντες ἐς χωρίον τι ἄπεδον αὐτοῦ ἐστρατοπεδεύσαντο.

10. *The Athenians find the enemy in their way.*

251. οἱ μὲν οὖν Ἀθηναῖοι τὴν νύκτα ἀνεπαύοντο· οἱ δὲ Συρακόσιοι ἐν τούτῳ προελθόντες ἀπετείχιζον τὴν ἐν

τῷ πρόσθεν δίοδον. ἦν δὲ λόφος καρτερὸς, καὶ ἑκατέρωθεν αὐτοῦ χαράδρα κρημνώδης· ἐκαλεῖτο δὲ "'Ακραῖον λέπας." τῇ δὲ ὑστεραίᾳ οἱ 'Αθηναῖοι προῄεσαν, καὶ οἱ τῶν Συρακοσίων ἱππῆς καὶ ἀκοντισταὶ ἐκώλυον αὐτοὺς πολλοὶ ὄντες, καὶ ἠκόντιζόν τε καὶ παρίππευον. καὶ χρόνον μὲν πολὺν ἐμάχοντο οἱ 'Αθηναῖοι, ἔπειτα δὲ ἀνεχώρησαν πάλιν πρὸς τὸ αὐτὸ στρατόπεδον. πρῲ δὲ ἐπορεύοντο αὖθις, ἐλθόντες δὲ πρὸς τὸν λόφον τὸν ἀποτετειχισμένον εὗρον πρὸ ἑαυτῶν τὴν τῶν Συρακοσίων στρατιὰν, τεταγμένην ἐπὶ πολλῶν ἀσπίδων, στενὸν γὰρ ἦν τὸ χωρίον.

11. *The Athenians find themselves checked.*

252. καὶ προςβαλόντες οἱ 'Αθηναῖοι ἐμάχοντο· ἀλλ' οὐκ ἐδύναντο βιάσασθαι, ἐβάλλοντο γὰρ ἄνωθεν ἀπὸ τοῦ λόφου. ἀνεχώρουν οὖν πάλιν, καὶ ἀνεπαύοντο· ἔτυχον δὲ βρονταί τινες γενόμεναι καὶ ὑετοὶ, ἀφ' ὧν οἱ 'Αθηναῖοι ἔτι μᾶλλον ἠθύμουν, καὶ ἐνόμιζον πάντα ταῦτα γίγνεσθαι ἐπὶ τῷ σφετέρῳ ὀλέθρῳ. ἐν δὲ τούτῳ οἱ Συρακόσιοι πέμπουσί τινας ἀποτειχιοῦντας τοὺς 'Αθηναίους ἐκ τοῦ ὄπισθεν· ἀντιπέμψαντες δὲ καὶ ἐκεῖνοί τινας, διεκώλυσαν. μετὰ δὲ ταῦτα οἱ 'Αθηναῖοι ἀναχωρήσαντες μᾶλλον πρὸς τὸ πεδίον ηὐλίσαντο. οὕτως οὖν ταύτην τε τὴν ἡμέραν καὶ τὴν ὑστεραίαν διετέλουν ἀκροβολιζόμενοι, καὶ τότε μὲν προῄεσαν ὀλίγους τινὰς σταδίους, τότε δὲ πιεζόμενοι πάλιν ἀνεχώρουν.

12. *The Athenians try a new route.*

253. οἱ δὲ 'Αθηναῖοι ἐν τούτῳ ἀπορίᾳ τῶν ἐπιτηδείων πάντων κακῶς εἶχον. καὶ πολλοὶ ἤδη αὐτῶν κατατετραυματισμένοι ἦσαν ὑπὸ τῶν ἐναντίων. ἐβουλεύοντο οὖν οἱ στρατηγοὶ τὴν στρατιὰν ἀπάγειν τῆς νυκτὸς, μηκέτι τὴν αὐτὴν ὁδὸν, ᾗ πρόσθεν, ἀλλ' ἑτέραν τινὰ πρὸς τὴν

θάλασσαν, ἥπερ ἔφερεν ἐπὶ Καμάριναν καὶ Γέλαν καὶ τὰς ταύτῃ πόλεις τῶν τε Ἑλλήνων καὶ τῶν βαρβάρων. ταύτην οὖν τὴν ὁδὸν ἔδοξεν αὐτοῖς πορεύεσθαι, ἤλπιζον γὰρ ἀφύλακτον αὐτὴν ἔσεσθαι. ἐκέλευον δὲ ἅμα τοὺς στρατιώτας πυρὰ πολλὰ ἐν τῷ στρατοπέδῳ καύσαντας λείπειν, ὅπως οἱ πολέμιοι μὴ αἴσθοιντο αὐτοὺς ἀπιόντας. οἱ δὲ ἐποίησάν τε ταῦτα, καὶ ἐχώρουν ἐν τῇ νυκτί.

13. *March to the river Cacyparis.*

254. ἰοῦσι δὲ αὐτοῖς ἐν νυκτί τε, καὶ διὰ γῆς πολεμίας, καὶ τῶν πολεμίων οὐ πολὺ ἀπεχόντων, ταραχή τις εἰκότως ἐγένετο. καὶ τὸ μὲν τοῦ στρατεύματος μέρος, ὅπερ Νικίας ἦγε, συνέμενέ τε καὶ προὔλαβε πολλῷ· τὸ δὲ τοῦ Δημοσθένους, μεῖζον ὄν, ἀπεσπάσθη τε καὶ ἐχώρει ἀτακτότερον. ἅμα δὲ ἕῳ ὅμως ἀφικνοῦνται πρὸς τὴν θάλασσαν· καὶ ἐλθόντες εὐθὺς ἐς τὴν ὁδὸν τὴν Ἑλωρινὴν καλουμένην ἐπορεύοντο, βουλόμενοι, ἐπειδὴ γένοιντο ἐπὶ τῷ Κακυπάρει ποταμῷ, ἰέναι ἐντεῦθεν ἄνω παρὰ τὸν ποταμὸν διὰ μεσογείας. γενόμενοι δὲ οὖν ἐπὶ τῷ ποταμῷ, εὗρον καὶ ἐνταῦθα φυλακήν τινα τῶν Συρακοσίων κλῄουσαν τὸν πόρον τείχει καὶ σταυροῖς.

14. *Demosthenes overtaken by the Syracusans.*

255. βιασάμενοι δὲ τὴν φυλακὴν ταύτην, διέβησάν τε τὸν ποταμὸν, καὶ ἐχώρουν αὖθις πρὸς ἄλλον ποταμὸν τὸν Ἐρινεόν· ταύτῃ γὰρ ἰέναι οἱ ἡγέμονες ἐκέλευον. ἐν τούτῳ δὲ ἥ τε ἡμέρα ἐγένετο, καὶ ἔγνωσαν οἱ Συρακόσιοι, ὅτι οἱ Ἀθηναῖοι οὐκέτι ἐν τῷ στρατοπέδῳ εἰσὶν, ἀλλ' οἴχονταί ποι διαπεφευγότες. ἄραντες οὖν καὶ αὐτοὶ ἐδίωξαν κατὰ τάχος, καὶ περὶ ὥραν ἀρίστου καταλαμβάνουσι τοὺς μετὰ τοῦ Δημοσθένους, ὄντας τε ὑστέρους τῶν ἄλλων, καὶ σχολαίτερον καὶ ἀτακτότερον χωροῦντας. ὡς δὲ προς-

ἔμισγον αὐτοῖς, εὐθὺς προσπεσόντες ἐμάχοντο. τὸ δὲ Νικίου στράτευμα ἀπεῖχεν ἐν τῷ πρόσθεν πεντήκοντα μάλιστα σταδίους, θᾶσσον γὰρ ὁ Νικίας ἦγεν.

15. *Surrender of Demosthenes.*

256. ὁ μὲν οὖν Δημοσθένης καὶ οἱ μετ' αὐτοῦ ὑπὸ τῶν Συρακοσίων ἐκυκλοῦντο, καὶ ἐν πολλῷ θορύβῳ ἦσαν. ἀνειληθέντες γὰρ ἔς τι χωρίον, ᾧ τεῖχος κύκλῳ περιῆν, ἀκοντίοις πανταχόθεν ἐβάλλοντο. οἱ δὲ πολέμιοι ὁρῶντες αὐτοὺς ταλαιπωρουμένους κήρυγμα ποιοῦνται τοιόνδε. πρῶτον μὲν ἐκέλευον τοὺς νησιώτας, ἤν τις βούληται, ἀπιέναι ἐλευθέρους· καὶ ἀπεχώρησάν τινες ὀλίγοι. ἔπειτα δὲ καὶ πρὸς τοὺς ἄλλους ὁμολογίαν ποιοῦνται, ὑπισχνούμενοι ὡς, ἐὰν τὰ ὅπλα παραδῶσιν, οὔτε βιαίως οὐδεὶς οὔτε δεσμοῖς οὔτε λιμῷ ἀποθανεῖται. παρέδοσαν οὖν σφᾶς αὐτοὺς οἱ πάντες, ἑξακισχίλιοι ὄντες. καὶ τὸ ἀργύριον, ὃ εἶχον, ἅπαν κατέθεσαν, ἐσβαλόντες ἐς ἀσπίδας ὑπτίας· καὶ ἐνέπλησαν ἀσπίδας τέσσαρας.

16. *Nicias overtaken.*

257. καὶ τούτους μὲν οἱ Συρακόσιοι ἀπεκόμιζον εὐθὺς εἰς τὴν πόλιν. Νικίας δὲ ἀφικνεῖται ταύτῃ τῇ ἡμέρᾳ ἐπὶ τὸν ποταμὸν τὸν Ἐρινεὸν, καὶ διαβὰς πρὸς ὑψηλόν τινα τόπον ἐστρατοπεδεύσατο. οἱ δὲ Συρακόσιοι τῇ ὑστεραίᾳ καταλαβόντες αὐτὸν ἔλεγον, ὅτι οἱ μετὰ Δημοσθένους παραδεδώκασι σφᾶς αὐτούς. ἐκέλευον οὖν καὶ ἐκεῖνον τὸ αὐτὸ δρᾶν. ὁ δὲ ἀπιστῶν σπένδεται αὐτοῖς πέμπειν ἱππέα, σκεψόμενον εἰ ταῦτα οὕτως ἔχει. οἰχόμενος δὲ ὁ ἱππεὺς καὶ ἀπελθὼν ἀπήγγειλε πάντα ἀληθῆ εἶναι. ὁ μὲν οὖν Νικίας κήρυκα πέμπει, αἰτήσοντα τοὺς Συρακοσίους χρήματα μὲν λαβεῖν, ὅσα ἐν τῷ πολέμῳ ἀνήλωσαν, τὴν δὲ μετ' αὐτοῦ στρατιὰν ἀφεῖναι.

17. *Nicias still attempts escape.*

258. οἱ δὲ οὐ προςεδέχοντο τοὺς λόγους τούτους, ἀλλὰ προςπεσόντες, καὶ πανταχόθεν περιστάντες, ἔβαλλον καὶ ἠκόντιζον μέχρι ὀψὲ. εἶχον δὲ καὶ οὗτοι πονηρῶς, σίτου τε καὶ ἐπιτηδείων πάντων ἀπορίᾳ· ἀλλ' ὅμως ἀνέχονται, καὶ ἡσυχάζουσιν, ἤλπιζον γὰρ τῆς νυκτὸς πορεύσεσθαι ἀδεέστερον. μελλόντων δὲ ἤδη ὁρμᾶσθαι, οἱ Συρακόσιοι αἰσθόμενοι ἐπαιώνισαν. καὶ γνόντες οἱ Ἀθηναῖοι ὅτι οὐ λανθάνουσι, κατέθεντο πάλιν τὰ ὅπλα, πλὴν τριακοσίων μάλιστα ἀνδρῶν. οὗτοι μὲν γὰρ, βιασάμενοι διὰ τῶν φυλάκων, ἐχώρουν τῆς νυκτὸς, ᾗ ἐδύναντο. ὁ δὲ Νικίας, ἐπειδὴ ἡμέρα ἐγένετο, ἦγε τοὺς ἄλλους. οἱ δὲ Συρακόσιοι προςέκειντο τὸν αὐτὸν τρόπον, βάλλοντές τε πανταχόθεν καὶ ἀκοντίζοντες.

18. *Fighting in the river.*

259. καὶ οἱ Ἀθηναῖοι ἠπείγοντο πρὸς τὸν Ἀσσίναρον ποταμὸν, ἅμα μὲν οἰόμενοι ῥᾷον σφίσιν ἔσεσθαι, ἢν διαβῶσι τὸν ποταμὸν, ἅμα δὲ ὑπὸ τοῦ κόπου καὶ δίψης ἐπιθυμοῦντες πιεῖν. ἥκοντες δὲ ἐκεῖσε ἐςπίπτουσιν, οὐδενὶ κόσμῳ ἔτι, ἀλλὰ ἕκαστος ἐβούλετο αὐτὸς πρῶτος διαβῆναι· καὶ οἱ πολέμιοι ἐπικείμενοι ὄπισθεν χαλεπὴν ἐποίουν τὴν διάβασιν. ἐπέπιπτον οὖν ἀλλήλοις καὶ κατεπάτουν, καὶ οἱ μὲν διεφθείροντο εὐθὺς τοῖς τῶν Συρακοσίων δορατίοις, οἱ δὲ ἐμπαλασσόμενοι ἀπεπνίγησαν. οἱ δὲ πολέμιοι ἔβαλλον ἄνωθεν τοὺς Ἀθηναίους ἀπὸ τοῦ χείλους τοῦ ποταμοῦ, ἔτυχε γὰρ κρημνώδης ὤν. ἄλλοι δὲ ἐς τὴν χαράδραν καταβάντες τοὺς ἐν τῷ ποταμῷ ὅμοθεν ἔσφαζον.

19. *Nicias surrenders.*

260. τέλος δὲ, πολλῶν ἤδη ἀπολωλότων, καὶ διεφθαρμένου τοῦ στρατεύματος, Νικίας ἑαυτὸν παραδίδωσι.

κελεύει δὲ τοὺς πολεμίους, ἑαυτῷ μὲν χρῆσθαι ὅ τι βούλονται, τοὺς δὲ ἄλλους στρατιώτας μηκέτι φονεύειν. ζωγροῦσιν οὖν τοὺς λοιποὺς τῶν ἐν τῷ ποταμῷ· καὶ τοὺς τριακοσίους, οἳ ἐν τῇ νυκτὶ διεξῆλθον τὴν φυλακὴν, μεταπεμψάμενοι συνέλαβον. ὅμως δὲ τὸ πλῆθος τῶν ληφθέντων οὐ πάνυ πολὺ ἦν· πολλοὶ γὰρ διέφυγον, καὶ Σικελία πᾶσα ἐπλήσθη αὐτῶν, ἐπεὶ οὐκ ἀπὸ συμβάσεως ἑαυτοὺς παρέδοσαν, ὥςπερ οἱ μετὰ Δημοσθένους. μέρος δὲ οὐκ ὀλίγον ἤδη ἀπετεθνήκει. ὁ γὰρ φόνος οὗτος μέγιστος ἐγένετο, καὶ οὐδενὸς ἐλάσσων τῶν ἐν τῷ Σικελικῷ πολέμῳ τούτῳ.

20. *Fate of the captives.*

261. μετὰ δὲ ταῦτα οἱ Συρακόσιοι καὶ οἱ σύμμαχοι, ἀναλαβόντες τῶν αἰχμαλωτῶν ὅσους ἐδύναντο καὶ τὰ σκῦλα, συναθροισθέντες ἐς τὴν πόλιν ἀνεχώρησαν. καὶ τοὺς μὲν ἄλλους τῶν ληφθέντων κατεβίβασαν ἐς τὰς λιθοτομίας, ὅπως ἡ τήρησις αὐτῶν ἀσφαλὴς εἴη, Νικίαν δὲ καὶ Δημοσθένην ἀπέσφαξαν. καὶ ἐκ τούτου μετεχείρισαν χαλεπῶς τοὺς ἐν ταῖς λιθοτομίαις. ἦν γὰρ ὁ τόπος ἀστέγαστος, ὥστε πρῶτον μὲν ὁ ἥλιος καὶ πνῖγος τοὺς ἐνόντας ἐλύπει, ἔπειτα δὲ, τῶν νυκτῶν ἐπιγιγνομένων ψυχρῶν, ἔτι δεινότερα ἔπασχον. καὶ λιμῷ ἅμα καὶ δίψῃ ἐπιέζοντο· ἐδίδοσαν γὰρ αὐτοῖς οἱ Συρακόσιοι καθ' ἡμέραν μίαν μόνην κοτύλην ὕδατος, καὶ δύο κοτύλας σίτου.

21. *The news reaches Athens.*

262. τοῦτο δὲ τὸ ἔργον μέγιστον ἦν πάντων τῶν κατ' ἐκεῖνον τὸν πόλεμον, καὶ τοῖς τε κρατήσασι λαμπρότατον καὶ τοῖς διαφθαρεῖσι δυστυχέστατον. κατὰ πάντα γὰρ νικηθέντες οἱ Ἀθηναῖοι ἀπώλοντο, καὶ ὀλίγοι ἀπὸ πολλῶν ἐπ' οἴκου ἀπενόστησαν.

καὶ τὰ μὲν περὶ Σικελίαν γενόμενα τοιαῦτά ἐστιν. ἐπειδὴ δὲ ἐς τὰς Ἀθήνας ἠγγέλθη, πρῶτον μὲν οἱ πολῖται ἠπίστουν τοῖς τὸ πάθος ἀγγέλλουσιν. ἐπεὶ δὲ ἔγνωσαν, χαλεποὶ ἦσαν τοῖς ῥήτορσι τοῖς τὸν ἔκπλουν ἐπαινέσασιν, ὥσπερ δὴ οὐκ αὐτοὶ τὸ αὐτὸ ψηφισάμενοι. ὠργίζοντο δὲ καὶ τοῖς χρησμολόγοις καὶ μάντεσι καὶ τοῖς ἄλλοις πᾶσιν, ὅσοι ἐπήλπισαν τότε αὐτοὺς λέγοντες ὡς Σικελίαν λήψονται.

22. *Courage under misfortune.*

263. ἐγένετο οὖν κατὰ πᾶσαν τὴν πόλιν φόβος τε καὶ ἔκπληξις μεγίστη δή· ἅμα μὲν γὰρ ἐστερημένοι ἦσαν ὁπλιτῶν τε καὶ ἱππέων πολλῶν, ἅμα δέ, ἔχοντες οὐκέτι ναῦς ἱκανάς, οὐδὲ χρήματα ἐν τῷ κοινῷ, διὰ ταῦτα πάντα ἐν ἀπορίᾳ πολλῇ ἦσαν. ὅμως δὲ ἐκ τῶν ὑπαρχόντων ἐδόκει αὐτοῖς χρῆναι μὴ ἐνδιδόναι, ἀλλὰ ναυτικόν τε, ὅθεν ἂν δύνωνται, παρασκευάζεσθαι, καὶ τὰ τῶν συμμάχων ἐς ἀσφάλειαν καταστῆσαι, καὶ τὰ κατὰ τὴν πόλιν ἐς εὐτέλειαν σωφρονίσαι, καὶ ἀρχήν τινα πρεσβυτέρων ἀνδρῶν ἑλέσθαι, οἵτινες περὶ τῶν παρόντων ἐς καιρὸν προβουλεύσουσιν. ὡς δὲ ἔδοξεν αὐτοῖς, καὶ ἐποίουν· καὶ τὸ θέρος ἐτελεύτα.

NOTES.

1. **τῇ πατρίδι**] Hints,* *Obs.* 13 (5).
ποιεῖσθαι] 'Make to (*or* for) himself.' This is the usual force of the Middle.
οἴκοι] Adverb, as the accent shows. The nom. pl. of *οἶκος* would be *οἶκοι.*

2. **οὐδὲν**] Adverbial. See Vocabulary.
τῶν ἁλισκομένων] Hints, *Obs.* 13 (4).

3. **πλούσιός ἐστιν**] Construe 'was,' not 'is.' The Greeks did not change present tenses to past, as we do, in reporting a past saying.
ἐπιτάσσει] Understand 'the payment of,' etc.
ὥστε κατέχεσθαι] See Vocabulary for *ὥστε* with infinitive. You will find it with a finite mood a little further on.
οὐκέτι οὐδεὶς . . . οὐδέποτε] In English a string of negatives cancel one another; in Greek they only strengthen the first negative. In construing you should drop all but the first. 'No longer any one . . . ever.'

4. **ἀμυνόμενοι**] 'In self-defence.'
οὐδὲ . . . οὐδεὶς] See 3 (last note).
ἐπὶ μακρὸν] *ἐπὶ* with acc. often signifies extension over: 'a long way.
αὐτοῖς] Ethic dative.

5. **ἐστι καλλίπαις**] See 3.
τὰ ἐκείνης] Understand *τέκνα.* *ἐκείνη* is Leto.
οἱ δὲ ἀφικόμενοι] *οἱ* is *pronoun,* not *article.*
κατετόξευσαν] Hints, *Obs.* 5 and 8.

6. **τὸ μὲν πρῶτον**] Adverbial, 'in the first place.'
ἀπέθανε] Hints, *Obs.* 4. Note that this verb is used chiefly of *violent* deaths; 'to die (*simply*)' is *τελευτᾶν.*

7. **ἠπόρει**] Hints, *Obs.* 3.
δοίη] From *δίδωμι.*
προσ-ήλωσας] A participle, from *προσ-ηλόω.*
τὸ σπαρασσόμενον] Hints, *Obs.* 13 (4).

* *i.e.* Hints to Beginners at commencement of this Book.

8. **ἡ καλουμένη**] 'The so-called.'
τὰ ἔμπροσθεν] Adverbial, 'in front.'
τέλος] Adverbial. Look it out.
ἥρθη] Hints, *Obs.* 7.

9. **κατέστη**] Hints, *Obs.* 8, B, and *Obs.* 4.
οἱ πολλοὶ] 'The many,' *i.e.* 'most.' *Without* article it would be simply 'many.'
προὐθυμήθησαν] Hints, *Obs.* 6.
σημείου . . . γενομένου] Genit. absol., used exactly like Latin ablat. absol.

10. **αὕτη**] Note *accent* and *breathing*. From *οὗτος*, not *αὐτός*.
ὑπέσχετο] From *ὑπισχνέομαι*.
τῶν εἰσιόντων] Hints, *Obs.* 13 (4).
ἀνέῳξεν] Hints, *Obs.* 7.
κατέχωσαν] From *καταχώννυμι*.

11. **ἔδοξεν**] Impersonal, 'it seemed good.'
ὧν αὐτὸς ἔχει] *ἔχω* governs an accusative; but here, as often, the *relative* pronoun is attracted into the case of its *antecedent* (*κτημάτων*).

12. **τί βουλόμενος**] Literally, 'wishing what,' *i.e.* 'with what object.'
αἰσχύνομαι] Note that this word *with an infinitive* means 'to be ashamed to do a thing (and so not do it).' *With a participle* it means 'to be ashamed of doing a thing (and yet do it).' Which is it here?

13. **οὐδενὶ . . . οὐδεπώποτε**] See 3 (last note).
τὴν γνάθον] *i.e.* his hard, horny beak.

14. **κεράσαι**] Where we talk of 'pouring out' a cup of wine, the Greeks talk of 'mixing' it. Greek wine was a thick kind of syrup, which had to be 'mixed' with water before drinking.
πολλὰ μεταξὺ, etc. This is a Hexameter verse. *χειλέος* would have been *χείλους* if it had been prose. Take *πέλει* before *μεταξύ*.
τούτων λεγομένων] Genit. absol. Note the tense,—'while these things were being . . .;' not 'when these things had been . . .'
ἡ δὲ περὶ, etc. Hints, *Obs.* 13 (2).

15. **ἔθει**] For *ἔ-θε-ε*.
ὡς θέρους ὄντος] Notice *ὡς* with genit. absol.: 'as it was,' etc.
ἐδίψη] A few verbs in *-αω* contract *αε* into *η*, not (like *τιμάω*) into *α*.

λάβοι] Optative, because in final sentences in Greek '*Optatives* follow *past* tenses, *Subjunctives* follow *primary*.' This answers to the Latin rule, 'Past tenses of the Subjunctive follow past tenses of the principal verb; primary tenses follow primary.' (But the Latin rule is much more strictly observed than the Greek. For though in Greek Optatives never depend on a present, Subjunctives often follow a past.)

16. τῶν μήλων] Partitive gen., 'after the . . .'
μεταξὺ ἐσθίων] Literally, 'meanwhile eating,' *i.e.* 'while he was eating.'
τοσαῦτα refers to the *past* speech, *τοσάδε* would refer to something which was to *follow*. (*τοιαῦτα* and *ταῦτα* differ in the same way from *τοιάδε* and *τάδε*).

17. τοὺς . . . πεσόντας] Hints, *Obs.* 13 (2). *ἀεί*, 'from time to time.' See Vocabulary.
τοῦ συναποθανεῖν] Hints, *Obs.* 13 (6). Understand here, 'the privilege of dying,' etc.
αὕτη] Not *αὐτή*. See **10**.

18. ποιῆται] Subjunctive verb.
ἐκείνων refers to *βουκόλοι* and *γεωργοί*.
καρπῶν] Genit. of Apposition (or Material), 'consisting of . . .'

19. ὅ τι] In Oblique Interrogation, *τίς* often changes to *ὅστις*. So *πῶς*, *ποῖος*, etc., to *ὅπως*, *ὁποῖος*, etc.
δι' αἰῶνος] etc. Usual formula in addressing a Persian king. Compare Book of Daniel, Chap. vi., verses 6 and 21.
σταθμόν] 'Halting-place,' where the king would lodge that night.

20. ἄριστον] etc. This sentiment is twice repeated by the famous Greek poet, Pindar, and seems to have been very familiar to the ancients.
ὅτι τάχιστα] Look out *ὅτι*.
οὐδὲν] Adverbial.
εἶναι] Infinitive, because the Oratio Obliqua still continues. So *ὕδωρ* and *ἱκανὸν* must be *accusatives*.

21. παράδεισος] A sort of park or private nursery-garden, in which a a great lord might rear valuable or curious plants, etc. Hence our word 'Paradise.'
Μίθραν] See Vocabulary of Proper Names.

22. τοῦ πάθους] 'For their . . .'
βορᾶς τι] Compare Latin, '*cibi aliquid*.' See for a similar genitive, **18** (last note).

μή] Made emphatic by its position at the end of the sentence, *after* the word it negatives.

23. ἐκάθητο] One would have expected the augment to *follow* the *κατὰ* (Hints, *Obs.* 4), but the Greeks seem to have forgotten that the word was a compound.

εὐθὺς ἀφικόμενος] Literally, '*Directly* . . . arriving,' *i.e.* '*Directly*, when he arrived.' (Compare **16**, second note.)

24. σκεψόμενον] Fut. participles often express purpose. Construe 'to . . .' (*i.e.* 'in order to . . .').

ποίαν] *ποῖος* expresses surprise and some indignation, 'what, pray.' *τίς* merely inquires to get information, 'what?'

ὡς ἀληθῶς] *ὡς* simply strengthens *ἀληθῶς*, 'in very truth.'

25. ἐκ δὲ τούτων] 'Thereupon.'

περι- ῄρει] (*περι-ε-αίρε-ε*) from *περιαιρέω*.

Ovid, and one of the Homeric Hymns, give a different and more pleasing version of this Story. The child is not hurt, but merely left by the offended goddess to grow up an ordinary mortal.

26. ἐμβάλλων] Construe this Participle as a Gerund, 'by . . .'

εἰώθει] *Plupf.* in form, *impf.* in meaning.

ἐπὶ δουλείᾳ] 'With a view to . . .;' we should say, 'for a slave.

δελφῖνες] See, for a picture representing this scene, Smith's *History of Greece* (end of Chap. xxxviii.).

27. οὕτω δή] *δή* suggests disbelief, 'if you really . . .'.

δι' ὕβριν] 'By way of insulting them.'

μέλλειν] 'Was likely.'

28. τότε] Explained by following clause, *ὅταν*, etc.

καιόμενος κατακαυθῇ] Note the difference between a present and an aorist stem: *καιόμενος*, the process going on; *κατακαυθῇ*, the fact accomplished.

29. παρόντων ἀνδρῶν] *ἀνδρῶν* emphatic, 'men' as opposed to the *woman* Atalanta.

30. κατὰ μικρὸν] 'Little by little.'

δεινὰ] A frequent word in querulous scolding protestations, 'a frightful shame.'

κάτωθεν ἀφαιρεῖσθαι] *κάτωθεν*, 'from the bottom,' but *τὸ κάτωθεν*, simply 'the bottom.'

31. πολλῷ] Dat. of measure.

πολλοὶ ἦσαν, etc. Hints, *Obs.* 13 (1).

32. **τινες**] Slightly contemptuous, 'individuals.'

ἄνδρες] Like *vir* in Latin, often complimentary, 'gentleman.'

καλοί τε καὶ ἀγαθοὶ] These two words together make up the Greek idea of a perfect gentleman, *καλὸς* denoting all *bodily* excellence, *ἀγαθὸς* the perfection of *mind* and *character*.

περι-έ-ρ-ρει] From *περι-ρ-ρέω*. Note how *ρ doubles* itself after a short vowel.

33. **ἐν νῷ ἔχειν**] A very common phrase. Look out *νοῦς*.

ἐκεῖσε] *i.e.* to Corinth.

34. **τί πάθοι**] *i.e.* something unpleasant.

σὺ μὲν] Note that *μὲν* is occasionally followed by *ἀλλά*, *μέντοι*, etc., instead of the usual *δέ*.

ὁ γὰρ πανόπτης] The sun, in his journeys across the earth, was supposed to witness the perpetration of crimes, and bring about their detection.

ὅσον ἀποζῆν] 'Enough to live on.'

35. **ἑαυτοῦ**] Governed by *καταλάμποντα*.

τούτου] The sun.

τι] Adverbial, 'in some degree.'

τί λέγει] 'What he meant.'

τοῖς ἀνδράσιν] 'Their husbands.'

36. **λάθωσιν**, etc.] Literally, 'escape their own notice, eating,' *i.e.* 'eat without noticing it.'

φασὶ] Be prepared for accusatives and infinitives to follow.

δὴ] Contemptuous, 'They actually say!'

ἐσθίοντες] As gerund, 'by . . .'

37. **τῶν ἄλλων**] Neuter, 'all else.'

τὴν γαστέρα] 'His appetites.'

τὸ πλεῖστον] Adverbial, 'mostly.'

ἐκείνων] *i.e.* those at Minturnae.

38. **μέγισται**, etc.] Predicate, *αὗται* is subject.

οὐδὲ] 'Not so much as.'

39. **Βουσίριδος**] This legend seems to have been popular at Rome in Virgil's time ('*Quis . . . illaudati nescit Busiridis aras?*'—*Georg.* iii. 5).

σφάξωσι] 1 aor. subj.

40. **ποτε**] With *future*, 'some day.'

πέντε ἔτη γεγονὼς] Latin, *quinque annos natus*.

οὐδ' ὁτιοῦν] A common, rather colloquial phrase, 'not a whit.'

τίς ἐστιν ὁ φόβος] The child supposes *φόβος* to be a *man* of that name.

συνήθης] Ambiguous; of *persons*, 'an acquaintance,' of *feelings*, etc., 'habitual.'

41. πανοῦργος] Lit. 'ready to do anything,' and so 'sticking at nothing, rascally.'

τοῖς ἐσχάτοις] A mild phrase for capital punishment.

δρῴη] (*δρα-οίη*), optative.

42. ἔστησαν] 1 aorist, and therefore *transitive*. See Vocabulary.

εἰς-πέμπειν] 'Let in,' (Lat. '*im-mittere*'). The *θέατρον* would consist of a semicircle of raised seats, and below an 'arena,' with cages for the beasts at one end. On removing a barrier (*κλῇθρα*) the beasts would be let loose on the criminals in the arena.

43. γεννῆσαι] The aorist is usually a past tense only in the indicative. But, *where Oratio Obliqua turns an aorist indicative into an aorist infinitive*, the *past* force is retained. So, construe, 'to have begotten.'

ἐννέα ἐτῶν] *i.e.* of age.

διὰ μέσου] Look out *μέσος*.

τοῦ θηρίου] Verbs of shooting, etc., take genitive of the mark aimed at.

44. δεθέντας πως] *πως* is often used to extenuate and claim excuse for a strained expression, 'as it were.' So in Latin '*quodammodo.*'

45. ἔπειτα δὲ] 'And then again.'

τοῖς θεωμένοις] Hints, *Obs.* 13 (4).

46. Πόνος] See Vocabulary of Proper Names.

τι σίτου] 22 (second note).

47. ἐπὶ τούτοις] 'On these terms.'

πρὸς ταῦτα] 'Under these circumstances.'

48. ἤρχετο] From *ἄρχομαι*. The imperfect of *ἔρχομαι*, which has the same form, is scarcely good Attic.

ὁ δὲ Πόνος διὰ ταῦτα, etc.] To understand this sentence you must remember what the word *Πόνος* *means*.

49. πόλις ἐστὶ] *Πάτραι* is the subject (plural), but the verb is *attracted* to agree in number with the predicate *πόλις*.

τῶν ἐκεῖ] *i.e.* the inhabitants.

ἐλάλει . . . ἔπαιζε, etc.] Imperfects, 'used to . . .'

τοὺς μὲν] *i.e.* the robbers.

50. ταυροσθένης] Derivation, *ταῦρος* and *σθένος*, *i.e. strong as a bull.* This explains the next sentence.

ἀγῶνας πολλούς] Cognate accus. after *ἐνίκησεν.*

51. τὰ ἡμέτερα] Understand not *δεῖπνα*, but simply 'possessions;' there is a little play of words on the literal and metaphorical meanings of *κατα-φαγεῖν.*

52. ἥπερ πόλις] *ἥπερ*, the subject, is *attracted* to agree with the predicate *πόλις.*

ἐχρήσατο . . . ἀνεῖλεν] Notice these technical words for the *consultation* of an oracle and its *response.*

ἂν εἶχε] See 11 (last note).

τὸ δὲ] *Pronoun*, not *article.*

53. οὐ θαυμάζω εἰ] 'I wonder that,' in Greek, is usually *θαυμάζω εἰ*, sometimes *θαυμάζω ὡς.*

54. σημεῖόν τι θανάτου] So an Oriental despot now is said to send a slave, carrying a bow-string, to any officer or viceroy of whom he wishes to rid himself, and the latter submits to be strangled privately, in order to avoid the disgrace of being publicly executed.

ἑαυτὸν μεθιστάναι] To be allowed to escape execution by suicide was considered a favour at Rome under the Emperors. Compare the 'Happy Despatch' system in modern Japan.

τὴν ὅμορον] Understand *χώραν.*

55. ἐκείνην] *i.e.* Atalanta.

γαμεῖσθαι = '*nubere*,' *γαμεῖν* = '*ducere*.'

56. τὰ τῶν δεσποτῶν] 'Understand 'possessions.'

57. Χῖοι καὶ κύριοι] Not two sets of people coupled by *καί*, but in apposition. Compare such phrases as 'Men and brethren!' where the 'men' *are* the 'brethren.'

58. ἄλλο οὐδὲν ἀδικεῖν] *ἄλλο οὐδὲν* is cognate accus. 'to do any other injury.'

ὅσα μὴ] 'Except in cases where.'

ἐκείνου] *i.e.* of Drimacus.

59. ὡς οἷόν τε μάλιστα] Look out *οἷος.*

60. ὑπ' αὐτῶν] A genitive of the agent with *ὑπὸ* follows not only passive verbs, but neuters also if they have a passive force. Construe here, 'at their hands.'

ὡς ἥρωα] *i.e.* not exactly as a God, but as a great man of ancient times, at whose tomb succeeding generations performed sacrifices, etc. Shrines in honour of such 'heroes' or demi-gods were to be found in every Greek town, and even village.

οὗ] Adverb.

61. κιθαρῳδὸς] Contraction from *κιθαρ-αοιδὸς* (*ἀοιδὸς* = 'a bard').

αὐτὴν] *i.e.* Eurydice.

εἵπετο] From *ἕπομαι*. Note the unusual method of augmentation which this verb employs. (So also *ἔχω*, *εἶχον*.)

62. πρὸς εὐωδίαν] 'For their. . . .'

ἐστεφανωμένος] The ancients wore crowns or chaplets of flowers, leaves, or even grasses, on all festive or solemn occasions from a banquet to a funeral. Here it is worn by Calanus to give his suicide the character of a *sacrifice*, and the fragrant woods of which the pyre consisted were chosen with the same object.

63. τὴν αὐλητικὴν] Understand *τέχνην*.

ἐς τοσοῦτον.] 'To such an extent.' *ἐφ' ᾧ*, 'on condition that.'

ταὐτὸ = *τὸ αὐτό*.

65. αὐτὴ] 'She herself' (the *speaker*, *i.e.* the fox).

ἐπὶ τούτοις] See 47 (first note).

66. ἕξονται] Notice the force of *ἔχω* in the Middle. *ἔχω* (with *acc.*) 'hold,' *ἔχομαι* (with *gen.*), 'cling to.'

τι] Adverbial, 'somewhat.'

67. αὐτὸς κάτεχε] 'Keep it yourself,' *i.e.* 'for your own.'

68. τὰ καίρια λέγων] 'When he spoke to the purpose,' *i.e.* 'gave good advice.'

ἡ γλῶσσα] 'pronunciation' (*φωνὴ*, referring rather to the *volume* of his voice).

συγ-κε-καλυμμένος] Implying that he was ashamed to be recognised.

ἀκούεται] 'Gets a hearing.'

69. καὶ πρὶν] *i.e.* before they had the advantage of Satyrus' skilful elocution to show them off.

70. πρὸς τὰ τοῦ, etc.] 'By comparison with.'

τετραλογίαν] See Vocabulary. They generally consisted of three tragedies and an after-piece in a lighter style (called a Satyric drama). No complete Tetralogy has been preserved, and only one Satyric drama—the 'Cyclops' of Euripides.

τοῖς Διονυσίοις] This was the regular occasion for the production of new plays at Athens.

διαλεγομένου] Socrates differed from most philosophers in not giving regular lectures, but expounding his views in ordinary conversation.

71. **λόγος τις ἐστὶν**] This event is said to have occurred in the reign of Tiberius, about the time of our Lord's crucifixion. Some authors have connected it with the ceasing of the oracles at that period, others with the passing away of the whole Pagan system at the rise of Christianity. Pan was a chief divinity in the nature-worship, which prevailed in the rural districts of Greece, especially in Arcadia.

ἀπ' ὀνόματος] 'By name.'

72. **καθάπερ ἤκουσεν**] *i.e.* 'as he had been told.'

